Εὐηγγελισάμην δικαιοσύνην ἐν Ἐκκλησίᾳ μεγάλῃ.
Τὰς δικαιοσύνας συ ὐκ ἔκρυψα ἐν τῇ καρδίᾳ μυ.
Τὴν ἀληθειάν συ καὶ τὸ σωτήριόν συ εἶπα.

Οὐκ ἔκρυψα τὸ ἔλεός σου, καὶ τὴν ἀλήθειάν σου ἀπὸ συναγωγῆς πολλῆς.

Παράνομος ἄμωμος, καὶ ἐργαζόμενος δικαιοσύνην.

Ἐξομολογήσομαί σοι Κύριε ἐν ἐκκλησίᾳ πολλῇ, ἐν λαῷ βαρεῖ αἰνέσω σε.

Πληρωθήτω τὸ στόμα μου αἰνέσεως, ὅπως ὑμνήσω τὴν δόξαν σου.

Ὅλην τὴν ἡμέραν τὴν μεγαλοπρέπειάν σου.

Διηγήσομαι τὸ ὄνομά σου τοῖς ἀδελφοῖς μου, ἐν μέσῳ Ἐκκλησίας ὑμνήσωσε.

Νίψωμαι ἐν ἀθώοις τὰς χεῖράς μου, καὶ κυκλώσω τὸ θυσιαστήριόν σου Κύριε.

Τοῦ ἀκοῦσαι με φωνῆς αἰνέσεώς σου, καὶ διηγήσασθαι πάντα τὰ θαυμάσιά σου.

Κύριε ἠγάπησα εὐπρέπειαν οἴκου σου, καὶ τόπον σκηνώματος δόξης σου.

Οὐκ ἐκάθισα μετὰ συνεδρίου ματαιότητος καὶ μετὰ παρανομούντων οὐ μὴ εἰσέλθω.

Εἶπα τοῖς παρανομοῦσι μὴ παρανομεῖτε, καὶ τοῖς ἁμαρτάνουσι, μὴ ὑψοῦτε κέρας.

Ἐμίσησα ἐκκλησίας πονηρευομένων, καὶ μετὰ ἀσεβῶν οὐ μὴ καθίσω.

Μίαν ἠτησάμην παρὰ Κυρίου, ταύτην ζητήσω.

Τοῦ κατοικεῖν με ἐν οἴκῳ Κυρίου πάσας τὰς ἡμέρας τῆς ζωῆς μου.

Τοῦ θεωρεῖν με τὴν τερπνότητα Κυρίου, καὶ ἐπισκέπτεσθαι τὸν Ναὸν τὸν ἅγιον αὐτοῦ.

Ἐγὼ δὲ ὡσεὶ ἐλαία κατάκαρπος ἐν τῷ οἴκῳ τοῦ Θεοῦ.

Ὅτι ἐφύλαξα τὰς ὁδὸς Κυρίου, καὶ οὐκ ἠσέβησα ἀπὸ τοῦ Θεοῦ μου.

Στόμα δικαίου μελετήσει σοφίαν.

Καὶ ἡ γλῶσσα αὐτοῦ λαλήσει κρίσιν.

Ὅτι εἰς τὸν αἰῶνα οὐ σαλευθήσεται.

Εἰς

Εἰς μνημόσυνον αἰώνιον ἔσται δίκαιος.
Ἀπὸ ἀκοῆς πονηρᾶς οὐ φοβηθήσεται.
Ὅλην τὴν ἡμέραν ἐλεεῖ καὶ δανίζει ὁ δίκαιος, καὶ τὸ σπέρμα αὐτῦ εἰς εὐλογίαν ἔσται.
Ἐσκόρπισεν ἔδωκε τοῖς πένησιν.
Ἡ δικαιοσύνη αὐτῦ μένει εἰς τὸν αἰῶνα τῦ αἰῶνος.
Φῶς ἀνέτειλε τῷ δικαίῳ, καὶ τοῖς εὐθέσι τῇ καρδίᾳ εὐφροσύνη.
Πεφυτευμένος ἐν τῷ οἴκῳ Κυρίυ, ἐν αὐλαῖς τῦ Θεῦ ἡμῶν ἐξανθήσει.
Οἱ Ἱερεῖς συ Κύριε ἐνδύσονται δικαιοσύνην, καὶ οἱ ὅσιοί συ ἀγαλλιάσονται.
Μακάριοι οἱ κατοικῦντες ἐν τῷ οἴκῳ συ, εἰς τὸς αἰῶνας τῶν αἰώνων αἰνέσουσί σε.

Δόξα. Καὶ νῦν. Ἀλληλούϊα.

Εἰς τὴν Εἴσοδον τῆς Ὑπεραγίας Θεοτόκυ.

Ἐν ὄρει ἁγίῳ αὐτῦ. Ἀλληλούϊα.

Μέγας Κύριος, καὶ αἰνετὸς σφόδρα ἐν πόλει τῦ Θεῦ ἡμῶν, ἐν ὄρει ἁγίῳ αὐτῦ.
Εὐφραίνου ἀγαλλιάματι πάσης τῆς γῆς.
Δεδοξασμένα ἐλαλήθη περὶ σῦ ἡ πόλις τῦ Θεῦ, ἡ πόλις τῦ βασιλέως τῦ μεγάλυ.
Ὁ Θεὸς ἐν ταῖς βάρεσιν αὐτῆς γινώσκεται, ὅταν ἀντιλαμβάνηται αὐτῆς.
Καθάπερ ἠκούσαμεν, οὕτω καὶ εἴδομεν ἐν πόλει Κυρίυ τῶν δυνάμεων, ἐν πόλει τῦ Θεῦ ἡμῶν.
Ὁ Θεὸς ἐθεμελίωσεν αὐτὴν εἰς τὸν αἰῶνα.
Ὑπέμεινεν τὸ σκήνωμα αὐτῦ ὁ Ὕψιστος.
Ἁγιωσύνη καὶ μεγαλοπρέπεια ἐν τῷ ἁγιάσματι αὐτῦ.

Αὖτη

Αὕτη ἡ πύλη τοῦ Κυρίου, δίκαιοι εἰσελεύσονται ἐν αὐτῇ.
Ἅγιος ὁ Ναός σου, θαυμαστὸς ἐν δικαιοσύνῃ.
Τῷ οἴκῳ σου πρέπει ἁγίασμα Κύριε εἰς μακρότητα ἡμερῶν.
Θυγατέρες βασιλέων ἐν τῇ τιμῇ σου.
Παρέστη ἡ βασίλισσα ἐκ δεξιῶν σου.
Ἐν ἱματισμῷ διαχρύσῳ περιβεβλημένη πεποικιλμένη.
Ἄκουσον θύγατερ καὶ ἴδε, καὶ κλῖνον τὸ οὖς σου, καὶ ἐπιλάθου τοῦ λαοῦ σου, καὶ τοῦ οἴκου τοῦ πατρός σου.
Καὶ ἐπιθυμήσει ὁ βασιλεὺς τοῦ κάλλους σου.
Τὸ πρόσωπόν σου λιταμεύσουσιν οἱ πλούσιοι τοῦ λαοῦ.
Πᾶσα ἡ δόξα τῆς θυγατρὸς τοῦ βασιλέως ἔσωθεν.
Ἐν κροσσωτοῖς χρυσοῖς περιβεβλημένη πεποικιλμένη.
Ἀπενεχθήσονται τῷ βασιλεῖ παρθένοι ὀπίσω αὐτῆς.
Αἱ πλησίον αὐτῆς ἀπενεχθήσονταί σοι.
Ἀπενεχθήσονται ἐν εὐφροσύνῃ καὶ ἀγαλλιάσει.
Ἀχθήσονται εἰς ναὸν Βασιλέως.
Ἀντελάβοντο ὁ Θεὸς τοῦ ἔλεούς σου ἐν μέσῳ τοῦ λαοῦ σου.
Μνησθήσομαι τοῦ ὀνόματός σου ἐν πάσῃ γενεᾷ καὶ γενεᾷ.
Διὰ τοῦτο λαοὶ ἐξομολογήσονταί σοι εἰς τὸν αἰῶνα, καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος.

Δόξα, Καὶ νῦν. Ἀλληλούϊα.

Εἰς τὸν Ὅσιον Πατέρα ἡμῶν Σάββαν, καὶ εἰς τοὺς λοιποὺς Ὁσίους.

Τῆς δεήσεώς σου. Ἀλληλούϊα.

Ὑπομείνων ὑπέμεινα τὸν Κύριον καὶ προσέσχε μοι, καὶ εἰσήκουσε τῆς δεήσεώς μου.
Ἔστησεν ἐπὶ πέτραν τοὺς πόδας μου, καὶ κατεύθυνε τὰ διαβήματά μου.
Ἰδοὺ ἐμάκρυνα φυγαδεύων, καὶ ηὐλίσθην ἐν τῇ ἐρήμῳ.

Ὁμοιω-

Ὁμοιώθην πελεκανὶ ἐρημικῷ.
Καὶ ἐγενήθην ὡσεὶ νυκτικόραξ ἐν οἰκοπέδῳ.
Ἠγρύπνησα, καὶ ἐγενόμην ὡς στρθίον μονάζον ἐπὶ δώματος.
Ἐγενήθη τὰ δάκρυά μου ἐμοὶ ἄρτος ἡμέρας καὶ νυκτός.
Τὰ γόνατά μου ἠθενήσαν ἀπὸ νηστείας.
Καὶ ἡ σάρξ μου ἠλλοιώθη δι' ἔλαιον.
Ὅτι κατεδον ὡσεὶ ἄρτον ἔφαγον.
Καὶ τὸ πόμα μου μετὰ κλαυθμοῦ ἐκίρνων.
Ἐκοπίασα ἐν τῷ στεναγμῷ μου, λούσω καθ' ἑκάστην νύκτα τὴν κλίνην μου.
Ἐν δάκρυσί μου τὴν στρωμνήν μου βρέξω.
Ὅτι ἐπελαθόμην τοῦ φαγεῖν τὸν ἄρτον μου.
Ἀπὸ φωνῆς τοῦ στεναγμοῦ μου ἐκολλήθη τὸ ὀστοῦν μου τῇ σαρκί μου.
Ἐγενήθην τὰ δάκρυά μου ἐνώπιόν σου ὡς καὶ ἐν τῇ ἐπαγγελίᾳ σου.
Διὰ τοὺς λόγους τῶν χειλέων σου ἐγὼ ἐφύλαξα ὁδοὺς σκληράς.
Ἐδίψησέ σε ἡ ψυχή μου, ποσαπλῶς σοι ἡ σάρξ μου ἐν γῇ ἐρήμῳ καὶ ἀβάτῳ καὶ ἀνύδρῳ.
Ὅτι ἐκύκλωσάν με κύνες πολλοί.
Συναγωγὴ πονηρευομένων περιέσχον με.
Τὸ ἀγαλλίαμά μου, λύτρωσαί με ἀπὸ τῶν κυκλωσάντων με.
Πλεονάκις ἐπολέμησάν με ἐκ νεότητός μου.
Ὅλην τὴν ἡμέραν παρετάσσοντο πολέμους.
Ἐμέτειναν τόξον αὐτῶν πρᾶγμα πικρόν.
Τοῦ κατατοξεῦσαι ἐν ἀποκρύφοις ἄμωμον.
Οὔτε ἡ ἀνομία μου, οὔτε ἡ ἁμαρτία μου Κύριε.
Ἀνὰ ἀνομίας ἔδραμον καὶ κατάθωκα.
Ἐγὼ δὲ ἐν τῷ αὐτούς παροξύνειν μοι, ἐνεδυόμην σάκκον.
Καὶ ἐταπείνων ἐν νηστείᾳ τὴν ψυχήν μου.

Ἐκο-

Ἐκοπίασα κράζων, ἐβραγχίασαν ὁ λάρυγξ μου.
Ἐξέλιπον οἱ ὀφθαλμοί μου ἀπὸ τῆς ἐλπίζειν με ἐπὶ τὸν Θεόν μου.
Προσδεχόμην τὸν Θεὸν τὸν σώζοντά με ἀπὸ ὀλιγοψυχίας καὶ ἀπὸ καταιγίδος.
Προωρώμην τὸν Κύριον ἐνώπιόν μου διαπαντὸς, ὅτι ἐκ δεξιῶν μου ὄντα ἵνα μὴ σαλευθῶ.
Πάντα τὰ ἔθνη ἐκύκλωσάν με, καὶ τῷ ὀνόματι Κυρίου ἠμυνάμην αὐτούς.
Ἐκύκλωσάν με ὡσεὶ μέλισσαι κηρίον.
Καὶ ἐξεκαύθησαν ὡς πῦρ ἐν ἀκάνθαις, καὶ τῷ ὀνόματι Κυρίου ἠμυνάμην αὐτούς.
Εὐλογητὸς ὁ Θεὸς ὃς οὐκ ἔδωκεν ἡμᾶς εἰς θήραν τοῖς ὀδοῦσιν αὐτῶν.
Βέλος μηπίων ἐγενήθησαν αἱ πληγαὶ αὐτῶν, καὶ ἐξηθενήσαν ἐπ' αὐτοὺς αἱ γλῶσσαι αὐτῶν.
Ἐξομολογησάσθωσάν σοι Κύριε πάντα τὰ ἔργα σου.
Καὶ οἱ ὅσιοί σου εὐλογησάτωσάν σε.
Ἀπόστητε ἀπ' ἐμοῦ πάντες οἱ ἐργαζόμενοι τὴν ἀνομίαν.
Καὶ γνῶτε ὅτι ἐθαυμάσωσε Κύριος τὸν ὅσιον αὐτοῦ.
Καὶ ἐκοπίασεν εἰς τὸν αἰῶνα, καὶ ζήσεται εἰς τέλος.
Ἀγαπήσατε τὸν Κύριον πάντες οἱ ὅσιοι αὐτοῦ.
Ὅτι Κύριος ἀγαπᾷ κρίσιν, καὶ οὐκ ἐγκαταλείψει τοὺς ὁσίους αὐτοῦ.
Φυλάσσει Κύριος τὰς ψυχὰς τῶν ὁσίων αὐτοῦ.
Καυχήσονται ὅσιοι ἐν δόξῃ, καὶ ἀγαλλιάσονται ἐπὶ τῶν κοιτῶν αὐτῶν.
Τίμιος ἐναντίον Κυρίου ὁ θάνατος τῶν ὁσίων αὐτοῦ.
Ψάλλατε τῷ Κυρίῳ οἱ ὅσιοι αὐτοῦ.
Καὶ ἐξομολογεῖσθε τῇ μνήμῃ τῆς ἁγιωσύνης αὐτοῦ.

Δόξα, Καὶ νῦν. Ἀλληλούϊα.

Εἰς

Εἰς τὼ Γρέσιν τῦ Κυρίυ καὶ Θεῦ καὶ Σωτῆρος ἡμῶν Ἰησῦ Χριςῦ.

Πᾶσα ἡ γῆ. Ἀλληλύϊα.

Ἀλαλάξατε τῷ Κυρίῳ πᾶσα ἡ γῆ.
Ψάλλατε δὴ τῷ ὀνόματι ἀυτῦ.
Δότε δόξαν ἐν αἰνέσει ἀυτῦ.
Διηγήσασθε παντα τὰ θαυμάσια ἀυτῦ.
Εἴπατε τῷ Θεῷ, ὡς φοβερὰ τὰ ἔργα συ.
Εὐφρανθήσεται οἱ ὐρανοὶ, καὶ ἀγαλλιάσθω ἡ γῆ.
Ἄσατε τῷ Θεῷ, ψάλλατε τῷ ὀνόματι ἀυτῦ.
Ὁδοποιήσατε τῷ ἐπιβεβηκότι ἐπὶ δυσμῶν.
Κύριος ὄνομα ἀυτῷ, καὶ ἀγαλλιᾶσθε ἐνώπιον ἀυτῦ.
Ἐξομολόγησις καὶ μεγαλοπρέπεια τὸ ἔργον ἀυτῦ.
Καὶ ἡ δικαιοσύνη ἀυτῦ μένει εἰς τὸν αἰῶνα τῦ αἰῶνος.
Λύτρωσιν ἀπέστειλε Κύριος τῷ λαῷ αὐτῦ.
Ἅγιον καὶ φοβερὸν τὸ ὄνομα ἀυτῦ.
Δεξιὰ Κυρίυ ἐποίησε δυνάμιν.
Δεξιὰ Κυρίυ ὕψωσέ με.
Μήτηρ Σιὼν ἐρεῖ ἄνθρωπος, καὶ ἄνθρωπος ἐγεννήθη ἐν αὐτῇ.
Ὡραῖος κάλλει παρὰ τὺς υἱὺς τῶν ἀνθρώπων.
Καὶ αὐτὸς ἐθεμελίωσεν αὐτὼν ὁ Ὕψιστος.
Ἐκ Σιὼν ἡ ἀπρέπεια τῆς ὡραιότητος ἀυτῦ.
Ὁ Θεὸς ἡμῶν ἐν τῷ ὐρανῷ καὶ ἐν τῇ γῇ, πάντα, ὅσα ἠθέλησεν ἐποίησε.
Τὰ ἐλέη συ Κύριε εἰς τὸν αἰῶνα ἄσομαι.
Εἰς γενεὰν καὶ γενεὰν ἀπαγγελῶ τὴν ἀλήθειάν συ ἐν τῷ στόματί μυ.
Ὅτι εἶπας εἰς τὸν αἰῶνα ἔλεος οἰκοδομηθήσεται.
Ἐν τοῖς ὐρανοῖς ἑτοιμασθήσεται ἡ ἀλήθειά συ.
Τὸ σπέρμα ἀυτῦ εἰς τὸν αἰῶνα μένει.

Καὶ ὁ θρόμος αὐτῦ ὡς ὁ ἥλιος ἐναντίον μυ.
Καὶ ὡς ἡ σελήνη κατηρτισμένη εἰς τὸν αἰῶνα.
Καὶ θήσομαι εἰς τὸν αἰῶνα τὸ σπέρμα αὐτῦ.
Καὶ τὸν θρόνον αὐτῦ ὡς τὰς ἡμέρας τῦ οὐρανῦ.
Καὶ κατακυριάσει ἀπὸ θαλάσσης ἕως θαλάσσης.
Καὶ ἀπὸ περάτων ἕως περάτων τῆς οἰκυμένης.
Αὐτὸς ἐπικαλέσεταί με, πατήρ μυ εἶ σύ.
Θεός μυ καὶ ἀντιλήπτωρ τῆς σωτηρίας μυ.
Κἀγὼ πρωτότοκον θήσομαι αὐτὸν, ὑψηλὸν παρὰ τοῖς βασιλεῦσι τῆς γῆς.
Καὶ προσκυνήσυσιν αὐτῷ πάντες οἱ βασιλεῖς τῆς γῆς.
Τίς Θεὸς μέγας ὡς ὁ Θεὸς ἡμῶν. σὺ εἶ ὁ Θεὸς, ὁ ποιῶν θαυμάσια μόνος.
Ἐν τῷ βραχίονι τῆς δυνάμεώς συ, διεσκόρπισας τὺς ἐχθρύς συ.
Ποιμανεῖς αὐτὺς ἐν ῥάβδῳ σιδηρᾷ.
Ὡς σκάνη κεραμέως συντρίψεις αὐτύς.
Περίζωσε τὴν ῥομφαίαν συ ἐπὶ τὸν μηρόν συ δυνατὲ τῇ ὡραιότητί συ καὶ τῷ κάλλει συ.
Τὰ βέλη συ ἠκονημένα δυνατέ.
Λαοὶ ὑποπάτυσί σε πεσῦνται ἐν καρδίᾳ τῶν ἐχθρῶν τῦ βασιλέως.
Ἐκ γαστρὸς πρὸ ἑωσφόρυ ἐγέννησά σε.
Ὤμοσε Κύριος, καὶ ὐ μεταμεληθήσεται.
Σὺ ἱερεὺς εἰς τὸν αἰῶνα κατὰ τὴν τάξιν Μελχισεδέκ.
Κύριος εἶπε πρός με, Υἱός μυ εἶ σὺ, ἐγὼ σήμερον γεγέννηκά σε.
Αἴτησαι παρ' ἐμῦ, καὶ δώσω σοι ἔθνη τὴν κληρονομίαν συ.
Καὶ τὴν κατάσχεσίν συ τὰ πέρατα τῆς γῆς.
Ἐν κεφαλίδι βιβλίυ γέγραπται περὶ ἐμῦ.
Ὁ θρόμος συ ὁ Θεὸς εἰς τὸν αἰῶνα τῦ αἰῶνος.
Ῥάβδος εὐθύτητος ἡ ῥάβδος τῆς βασιλείας συ.
Ἠγάπησας δικαιοσύνην, καὶ ἐμίσησας ἀνομίαν.

Διὰ

Διὰ τῦτο ἔλεησέ σε ὁ Θεὸς, ὁ Θεός σε ἔλαιον ἀγαλλιάσεως παρὰ τὺς μετόχυς σε.
Ὅτι σὺ κατακληρομήσῃς ἐν πᾶσι τοῖς ἔθνεσιν.
Εὐλογητὸς Κύριος εἰς τὸν αἰῶνα. γένοιτο γένοιτο.

Δοξα. Καὶ νυν. Ἀλληλύϊα.

Εἰς τὰ Ἅγια Θεοφάνεια τῦ Σωτῆρος ἡμῶν Ἰησῦ Χριςῦ.

Καὶ ἀλογήσαι ἡμᾶς. Ἀλληλύϊα.

Ὁ Θεὸς οἰκτειρήσαι ἡμᾶς καὶ ἀλογήσαι ἡμᾶς.
Ἐπιφαύαι τὸ πρόσωπον αὐτῦ ἐφ' ἡμᾶς, καὶ ἐλεήσαι ἡμᾶς.
Προσέλθετε πρὸς αὐτὸν καὶ φωτίθητε, καὶ τὰ πρόσωπα ὑμῶν ὐ μὴ καταισχυνθῆ.
Τὸ ποταμὸ τὰ ὁρμήματα ἀυφραίνυσι τὴν πόλιν τῦ Θεῦ.
Φωνὴ Κυρίυ ἐπὶ τῶν ὑδάτων.
Ὁ Θεὸς τῆς δόξης ἐβρόντισε.
Κύριος ἐπὶ ὑδάτων πολλῶν.
Κύριος τὸν κατακλυσμὸν κατοικιεῖ, καὶ καθιεῖται.
Κύριος βασιλὺς εἰς τὸν αἰῶνα.
Ἰδὺ δώσει τῇ φωνῇ αὐτῦ φωνὴν δυνάμεως. δότε δόξαν τῷ Θεῷ.
Ἐπῆραν οἱ ποταμοὶ Κύριε, ἐπῆραν οἱ ποταμοὶ φωνὰς αὐτῶν.
Ἄρσιν οἱ ποταμοὶ ἐπιτρίψεις αὐτῶν ἀπὸ φωνῶν ὑδάτων πολλῶν.
Διὰ τῦτο μνησθήσομαί σε ἐκ γῆς Ἰορδάνυ καὶ Ἑρμωνιείμ, ἀπὸ ὄρυς μικρῦ.
Μεθυσθήσονται ἀπὸ πιότητος οἴκυ σε, καὶ τὸν χειμάῤῥυν τῆς τρυφῆς σε ποτιεῖς αὐτύς.
Ὅτι παρὰ σοὶ πηγὴ ζωῆς, ἐν τῷ φωτίσι σε ὀψόμεθα φῶς.
Ἔκτεινον τὸ ἔλεός σε τοῖς γινώσκυσί σε.

Ὁ Ἰορδάμης ἐστράφη εἰς τὰ ὀπίσω.
Τὰ ὄρη ἐσκίρτησαν ὡσεὶ κριοί.
Καὶ οἱ βουνοὶ ὡς ἀρνία προβάτων.
Ἀπὸ προσώπυ Κυρίυ ἐσαλεύθη ἡ γῆ.
Ἀπὸ προσώπυ τῦ Θεῦ Ἰακώβ.
Τὸ στρέψαντος τὴν πέτραν εἰς λίμνας ὑδάτων.
Καὶ τὴν ἀκρότομον εἰς πηγὰς ὑδάτων.
Ἐπίφανόν τὸ πρόσωπόν συ καὶ σωθησόμεθα.
Σὺ ἐκραταίωσας ἐν τῇ δυνάμει συ τὴν θάλασσαν.
Σὺ συνέτριψας τὰς κεφαλὰς τῶν δρακόντων ἐπὶ τῦ ὕδατος.
Σὺ συνέθλασας τὴν κεφαλὴν τῦ δράκοντος.
Σὺ διέρρηξας πηγὰς καὶ χειμάρρους.
Σὺ ἐξήρανας ποταμοὺς Ἠθάμ.
Ἄβυσσος ἄβυσσον ἐπικαλεῖται εἰς φωνὴν τῶν καταρράκτων συ.
Εἴδοσάν σε ὕδατα ὁ Θεὸς, εἴδοσάν σε ὕδατα καὶ ἐφοβήθησαν.
Ἐταράχθησαν ἄβυσσοι, πλῆθος ἠχῦς ὑδάτων.
Φωνὴν ἔδωκαν αἱ νεφέλαι. καὶ γὰρ τὰ βέλη συ διαπορεύονται.
Ἔφανεν αἱ ἀστραπαί συ τῇ οἰκυμένῃ.
Ἐσαλεύθη, καὶ ἔτρεμος ἐγενήθη ἡ γῆ.
Ἐν τῇ θαλάσσῃ αἱ ὁδοί συ, καὶ αἱ τρίβοι συ ἐν ὕδασι πολλοῖς.
Καὶ τὰ ἴχνη συ οὐ γνωσθήσονται.
Ὡς ἐμεγαλύνθη τὰ ἔργα συ Κύριε, πάντα ἐν τῇ σοφίᾳ ἐποίησας.

Δόξα. Καὶ νῦν. Ἀλληλούϊα.

ΕΙΣ

ΕΙΣ ΤΗΝ

ΥΠΑΠΑΝΤΗΝ ΤΟΥ ΚΥΡΙΟΥ ΗΜΩΝ ΙΝΣΟΥ ΧΡΙΣΤΟΥ.

Λόγομ Ἀγαθόμ. Ἀλληλούϊα.

Ἐξηρεύξατο ἡ καρδία μου λόγον ἀγαθόν.
Λέγω ἐγὼ τὰ ἔργα μου τῷ βασιλεῖ.
Ἡ γλῶσσα μου κάλαμος γραμματέως ὀξυγράφου.
Ὡραῖος κάλλει παρὰ τοὺς υἱοὺς τῶν ἀνθρώπων.
Ἐξεχύθη χάρις ἐν χείλεσί σου.
Διὰ τοῦτο ἠυλόγησέ σε ὁ Θεὸς εἰς τὸν αἰῶνα.
Περίζωσαι τὴν ῥομφαίαν σου ἐπὶ τὸν μηρόν σου δυνατέ.
Τῇ ὡραιότητί σου καὶ τῷ κάλλει σου.
Καὶ ἔντεινε καὶ κατεύοδου καὶ βασίλευε.
Ἕνεκεν ἀληθείας καὶ πραότητος καὶ δικαιοσύνης.
Τὰ βέλη σου ἠκονημένα δυνατέ.
Λαοὶ ὑποκάτωσου πεσοῦνται.
Ἐν καρδίᾳ τῶν ἐχθρῶν τοῦ Βασιλέως.
Ὁ θρόνος σου ὁ Θεὸς εἰς τὸν αἰῶνα τοῦ αἰῶνος.
Ῥάβδος εὐθύτητος ἡ ῥάβδος τῆς βασιλείας σου.
Ἠγάπησας δικαιοσύνην καὶ ἐμίσησας ἀνομίαν.
Διὰ τοῦτο ἔχρισέ σε, ὁ Θεὸς, ὁ Θεός σου ἔλαιον ἀγαλλιάσεως παρὰ τοὺς μετόχους σου.

Σμύρ-

Σ μύρνα καὶ κασσία ἀπὸ τῶν ἱματίων σου.
Ἀ πὸ βάρεων ἐλεφαντίνων, ἐξ ὧν εὐφράναν σε.
Θυγατέρες βασιλέων ἐν τῇ τιμῇ σου.
Π αρέστη ἡ βασίλισσα ἐκ δεξιῶν σου.
Ἐ ν ἱματισμῷ διαχρύσῳ περιβεβλημένη πεποικιλμένη.
Ἄ κουσον θύγατερ καὶ ἴδε καὶ κλῖνον τὸ οὖς σου, καὶ ἐπιλάθου τοῦ λαοῦ σου καὶ τοῦ οἴκου τοῦ πατρός σου.
Κ αὶ ἐπιθυμήσει ὁ βασιλεὺς τοῦ κάλλους σου.
Ὅ τι αὐτὸς ἐστὶ Κύριός σου, καὶ προσκυνήσεις αὐτῷ.
Τ ὸ πρόσωπόν σου λιταμοῦσιν οἱ πλούσιοι τοῦ λαοῦ.
Π ᾶσα ἡ δόξα τῆς θυγατρὸς τοῦ βασιλέως ἔσωθεν.
Ἐ ν χρυσοῖς περιβεβλημένη πεποικιλμένη.
Κ ύριος ἐν Ναῷ ἁγίῳ αὐτοῦ, Κύριος ἐν οὐρανῷ ὁ θρόνος αὐτοῦ.
Ἁ γιωσύνη καὶ μεγαλοπρέπεια ἐν τῷ ἁγιάσματι αὐτοῦ.
Ἐ θεωρήθησαν αἱ πορεῖαί σου ὁ Θεός.
Ἁ ἱ πορεῖαι τοῦ Θεοῦ μου τοῦ Βασιλέως τοῦ ἐν τῷ ἁγίῳ.
Ἅ γιος ὁ Ναός σου θαυμαστὸς ἐν δικαιοσύνῃ.
Τ ῷ οἴκῳ σου πρέπει ἁγίασμα Κύριε εἰς μακρότητα ἡμερῶν.
Μ νησθήσομαι τοῦ ὀνόματός σου ἐν πάσῃ γενεᾷ καὶ γενεᾷ.
Ο ὕτω ψαλῶ τῷ ὀνόματί σου εἰς τοὺς αἰῶνας, ὅτι ἐξηρεν ἁμαρτίαν τῶν ὁσίων σου.

Δόξα. Καὶ νῦν. Ἀλληλούϊα.

Εἰς τὸν Εὐαγγελισμὸν τῆς Ὑπεραγίας Δεσποίνης ἡμῶν Θεοτόκου.

Τῷ Βασιλεῖ δός. Ἀλληλούϊα.

Ὁ Θεὸς τὸ κρίμα σου τῷ Βασιλεῖ δὸς, καὶ τὴν δικαιοσύνην σου τῷ υἱῷ τοῦ Βασιλέως.
Κ ρίνει τὸν λαόν σου ἐν δικαιοσύνῃ, καὶ τοὺς πτωχούς σου ἐν κρίσει.

Ἀ να-

Ἀναλαβέτω τὰ ὄρη εἰρήνην τῷ λαῷ, καὶ οἱ βουνοὶ δικαιοσύνην.
Κρινεῖ τὸς πτωχὸς τοῦ λαοῦ, καὶ σώσει τὸς υἱὸς τῶν πενήτων.
Εὐαγγελίζεσθαι ἡμέραν ἐξ ἡμέρας τὸ σωτήριον τοῦ Θεοῦ ἡμῶν.
Κύριος δώσει ῥῆμα τοῖς εὐαγγελιζομένοις δυνάμει πολλῇ.
Ὤμοσε Κύριος τῷ Δαβὶδ ἀλήθειαν, καὶ οὐ μὴ ἀθετήσει αὐτήν.
Ἐκ καρπῦ τῆς κοιλίας σῦ θήσομαι ἐπὶ τῦ θρόνῦ σῦ.
Καταβήσεται ὡς ὑετὸς ἐπὶ πόκον, καὶ ὡσεὶ σταγὼν ἡ στάζῦσα ἐπὶ τὴν γῆν.
Καὶ ἔκλιμεν οὐρανὸς καὶ κατέβη, καὶ γνόφος ὑπὸ τὸς πόδας αὐτῦ.
Ὅτι ἐξελέξατο Κύριος τὴν Σιών.
Ἡρετίσατο αὐτὴν εἰς κατοικίαν ἑαυτῷ.
Καὶ ἔκλιμεν οὐρανὸς καὶ κατέβη.
Ἡγίασε τὸ σκήνωμα αὐτῦ ὁ Ὕψιστος.
Ὁ Θεὸς ἐθεμελίωσεν αὐτὴν εἰς τὸν αἰῶνα.
Ὁ Θεὸς ἐν μέσῳ αὐτῆς, καὶ οὐ σαλευθήσεται.
Ὁ Θεὸς ἐμφανῶς ἥξει, ὁ Θεὸς ἡμῶν, καὶ οὐ παρασιωπήσεται.
Φείσεται πτωχῦ καὶ πενήτος, καὶ ψυχὰς πενήτων σώσει.
Καὶ προσκυνήσουσιν αὐτῷ πάντες οἱ βασιλεῖς τῆς γῆς.
Πάντα τὰ ἔθνη δουλεύσουσιν αὐτῷ.
Ὅτι ἐρρύσατο πτωχὸν ἐκ δυνάστου.
Καὶ πένητα, ᾧ οὐκ ὑπῆρχε βοηθός.
Καὶ προσάξονται περὶ αὐτῦ διαπαντός.
Ὅλην τὴν ἡμέραν εὐλογήσουσιν αὐτόν.
Ἔσται στήριγμα ἐν τῇ γῇ ἐπ' ἄκρων τῶν ὀρέων.
Ὑπεραρθήσεται ὑπὲρ τὸν λίβανον ὁ καρπὸς αὐτῦ.
Καὶ ἐξανθήσουσιν ἐκ πόλεως ὡσεὶ χόρτος τῆς γῆς.
Ἔσται τὸ ὄνομα αὐτῦ εὐλογημένον εἰς τὸς αἰῶνας.

Καὶ

Καὶ ἐνλογηθήσονται ἐν αὐτῷ πᾶσαι αἱ φυλαὶ τῆς γῆς.
Εὐλογητὸς Κύριος ὁ Θεὸς τοῦ Ἰσραὴλ ὁ ποιῶν θαυμάσια μόνος.
Καὶ ἐνλογημένον τὸ ὄνομα τῆς δόξης αὐτοῦ, εἰς τὸν αἰῶνα καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος.
Καὶ πληρωθήσεται τῆς δόξης αὐτοῦ πᾶσα ἡ γῆ. γένοιτο γένοιτο.

Δόξα. Καὶ νῦν. Ἀλληλούϊα.

Τῇ Κυριακῇ τῆς Βαΐων.

Ἐν πάσῃ τῇ γῇ. Ἀλληλούϊα.

Κύριε ὁ Κύριος ἡμῶν, ὡς θαυμαστὸν τὸ ὄνομά σου ἐν πάσῃ τῇ γῇ.
Ὅτι ἐπήρθη ἡ μεγαλοπρέπειά σου ὑπεραίρω τῆς οὐρανῶν.
Ἐκ στόματος νηπίων καὶ θηλαζόντων κατηρτίσω αἶνον.
Ἕνεκα τῆς ἐχθρῶν σου τοῦ καταλῦσαι ἐχθρὸν καὶ ἐκδικητήν.
Ἐπετίμησας ἔθνεσι, καὶ ἀπώλετο ὁ ἀσεβής.
Λίθον, ὃν ἀπεδοκίμασαν οἱ οἰκοδομοῦντες, οὗτος ἐγενήθη εἰς κεφαλὴν γωνίας.
Παρὰ Κυρίου ἐγένετο αὕτη, καὶ ἔστι θαυμαστὴ ἐν ὀφθαλμοῖς ἡμῶν.
Κύριος ἐν Σιὼν μέγας καὶ ὑψηλὸς ἐπὶ πάντας τοὺς λαούς.
Ἐκεῖ συνέτριψε τὰ κράτη τῆς τόξων αὐτῆς.
Ὅπλον καὶ ῥομφαίαν καὶ πόλεμον.
Ἤκουσε καὶ ἐφράνθη ἡ Σιὼν, καὶ ἠγαλλιάσαντο αἱ θυγατέρες τῆς Ἰουδαίας.
Ἐπαίνει Ἱερουσαλὴμ τὸν Κύριον, αἶνει τὸν Θεόν σου Σιών.
Ὤφθησεται ὁ Θεὸς τῆς θεῶν ἐν Σιών.
Κυκλώσατε Σιὼν καὶ περιλάβετε αὐτήν.

Καὶ

Καὶ καταδιέλεσθε τὰς βάρρεις αὐτῆς.
Τῦ ἀναγγεῖλαι ἐν Σιὼν, τὸ ὄνομα Κυρίυ, ἐν τῳ αἰνέσει αὐτῦ ἐν Ἱερυσαλήμ.
Ὅτι βασιλεὺς πάσης τῆς γῆς ὁ Θεός.
Ψάλλατε συνετῶς ἐβασίλευσεν ὁ Θεὸς ἐπὶ τὰ ἔθνη.
Ψάλλατε τῷ Κυρίῳ τῷ κατοικῦντι ἐν Σιών.
Ὅτι ὁ Θεὸς σώσει τὴν Σιὼν, ἐν οἰκοδομηθήσονται αἱ πόλεις τῆς Ἰυδαίας.
Σοὶ πρέπει ὕμνος ὁ Θεὸς ἐν Σιών.
Καὶ σοὶ ἀποδοθήσεται ἀυχὴ ἐν Ἱερυσαλήμ.
Εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίυ.
Θεὸς Κύριος ἐν ἐπέφανεν ἡμῖν.
Συστήσασθε ἑορτὴν ἐν τοῖς πυκάζυσιν ἕως τῶν κεράτων τοῦ θυσιαστηρίυ.
Θεός μυ εἶ συ καὶ ἐξομολογήσομαί σοι, Θεός μυ εἶ σὺ ἐν ὑψώσωσε.
Ἐξομολογήσομαί σοι ὅτι ἐπήκυσάς μυ ἐν ἐγένου μοι εἰς σωτηρίαν.
Ὅπως ἂν ἐξαγγείλω πάσας τὰς αἰνέσεις συ ἐν ταῖς πύλαις τῆς θυγατρὸς Σιών.
Τίς δώσει ἐκ Σιὼν τὸ σωτήριον τῦ Ἰσραήλ.
Ἐν αὐλαῖς οἴκυ Κυρίυ ἐν μέσῳ συ Ἱερυσαλήμ.
Βασιλεύσει Κύριος εἰς τὸν αἰῶνα.
Ὁ Θεός συ Σιὼν εἰς γενεὰν ἐν γενεάν.
Ἡ αἴνεσις αὐτῦ μένει εἰς τὸν αἰῶνα, καὶ εἰς τὸν αἰῶνα τῦ αἰῶνος.

Δόξα. Καὶ νῦν. Ἀλληλούϊα.

Τῇ Κυριακῇ τοῦ Θωμᾶ.

Εὐπρέπειαν ἐνεδύσατο. Ἀλληλούϊα.

Ὁ Κύριος ἐβασίλευσεν, εὐπρέπειαν ἐνεδύσατο.
Ἐνεδύσατο ὁ Κύριος δύναμιν καὶ περιεζώσατο.
Καὶ γὰρ ἐστερέωσε τὴν οἰκουμένην, ἥτις οὐ σαλευθήσεται.
Τίς λαλήσει τὰς δυναστείας τοῦ Κυρίου;
Ἀκουστὰς ποιήσει πάσας τὰς αἰνέσεις αὐτοῦ.
Εἰ πάτωσαν οἱ λελυτρωμένοι ὑπὸ Κυρίου, οὓς ἐλυτρώσατο ἐκ χειρὸς ἐχθρῶν.
Ἐξομολογησάσθωσαν τῷ Κυρίῳ τὰ ἐλέη αὐτοῦ.
Καὶ τὰ θαυμάσια αὐτοῦ τοῖς υἱοῖς τῶν ἀνθρώπων.
Ὅτι ἐχόρτασε ψυχὴν κενὴν, καὶ ψυχὴν πεινῶσαν ἐνέπλησεν ἀγαθῶν.
Καθημένους ἐν σκότει καὶ σκιᾷ θανάτου.
Πεπεδημένους ἐν πτωχείᾳ καὶ σιδήρῳ.
Ἐκέκραξαν πρὸς Κύριον ἐν τῷ θλίβεσθαι αὐτούς.
Καὶ ἐκ τῶν ἀναγκῶν αὐτῶν ἐρρύσατο αὐτούς.
Καὶ ἐξήγαγεν ἐκ σκότους καὶ σκιᾶς θανάτου.
Ὅτι συνέτριψε πύλας χαλκᾶς.
Καὶ μοχλοὺς σιδηροῦς συνέθλασε.
Καὶ ἐρρύσατο αὐτοὺς ἐκ τῶν διαφθορῶν αὐτῶν.
Καὶ τοὺς δεσμοὺς αὐτῶν διέρρηξεν.
Ὑψωσάτωσαν αὐτὸν ἐν ἐκκλησίᾳ λαοῦ.
Καὶ ἐν καθέδρᾳ πρεσβυτέρων αἰνεσάτωσαν αὐτόν.
Ὅτι εἰσήκουσε τῆς πεμπτῶν ὁ Κύριος.
Καὶ τοὺς πεπεδημένους αὐτοῦ οὐκ ἐξουδένωσεν.
Καὶ θυσάτωσαν αὐτῷ θυσίαν αἰνέσεως, καὶ ἐξαγγειλάτωσαν τὰ ἔργα αὐτοῦ ἐν ἀγαλλιάσει.
Ἐξηγέρθη ὡς ὁ ὑπνῶν Κύριος καὶ ἐπάταξε τοὺς ἐχθροὺς αὐτοῦ.
Ὅτι οἱ ὀφθαλμοὶ Κυρίου ἐπὶ τοὺς ἐλπίζοντας ἐπὶ τὸ ἔλεος αὐτοῦ.

Τῦ ἀκῦσαι τῦ στεναγμῦ μῦ πεπεδημεμένων.
Τῦ λῦσαι τὺς υἱὺς τῶν τεθανατωμεμένων.
Ἀναστήτω ὁ Θεὸς, καὶ διασκορπισθήτωσαν οἱ ἐχθροὶ αὐτῦ.
Καὶ φυγέτωσαν ἀπὸ προσώπυ αὐτῦ οἱ μισῦντες αὐτόν.
Αὕτη ἡ ἡμέρα, ἣν ἐποίησεν ὁ Κύριος, ἀγαλλιασώμεθα καὶ εὐφραινθῶμεν ἐν αὐτῇ.
Ἀνάστηθι Κύριε ὁ Θεός μυ, ὑψωθήτω ἡ χεὶρ συ.
Μὴ ἐπιλάθῃ τῶν πενήτων συ εἰς τέλος.
Κύριε ὁ Θεός μυ, εἰς τὸν αἰῶνα ἐξομολογήσομαί σοι.

Δόξα. Καὶ νῦν. Ἀλληλούϊα.

Εἰς τὸ Ἀνάληψιν τῦ Σωτῆρος ἡμῶν Ἰησῦ Χριστῦ.

Ἐν φωνῇ ἀγαλλιάσεως. Ἀλληλούϊα.

Πάντα τὰ ἔθνη κροτήσατε χεῖρας, ἀλαλάξατε τῷ Θεῷ ἐν φωνῇ ἀγαλλιάσεως.
Ὅτι Κύριος ὕψιστος φοβερὸς βασιλεὺς μέγας ἐπὶ πᾶσαν τὸν γῆν.
Ὑπέταξε λαοὺς ἡμῖν, καὶ ἔθνη ὑπὸ τὺς πόδας ἡμῶν.
Ἐξελέξατο τὸν κληρονομίαν ἑαυτῷ.
Τὸν καλλονὸν Ἰακὼβ ὃν ἠγάπησεν.
Ἀνέβη ὁ Θεὸς ἐν ἀλαλαγμῷ, Κύριος ἐν φωνῇ σάλπιγγος.
Καὶ ἐπέβη ἐπὶ Χερυβὶμ, καὶ ἐπετάσθη.
Ἐπετάσθη ἐπὶ πτερύγων ἀνέμων.
Ὁ τιθεὶς νέφη τὸν ἐπίβασιν αὐτῦ.
Ὁ περιπατῶν ἐπὶ πτερύγων ἀνέμων.
Ἄρατε πύλας οἱ Ἄρχοντες ὑμῶν, καὶ ἐπάρθητε πύλαι αἰώνιοι.
Καὶ εἰσελάσεται ὁ Βασιλεὺς τῆς δόξης.
Τίς ἔστιν οὗτος ὁ Βασιλεὺς τῆς δόξης;

Κύριος κραταιὸς ⸗ δυνατὸς, Κύριος δυνατὸς ἐν πολέμῳ.
Κύριος ἐν τῷ οὐρανῷ ἡτοίμασε τὸν θρόνον αὐτοῦ.
Καὶ ἡ Βασιλεία αὐτοῦ πάντων δεσπόζει.
Εἶπεν ὁ Κύριος τῷ Κυρίῳ μου κάθου ἐκ δεξιῶν μου.
Ἕως ἂν θῶ τοὺς ἐχθρούς σου ὑποπόδιον τῶν ποδῶν σου.
Προσκυνήσατε αὐτῷ πάντες Ἄγγελοι αὐτοῦ.
Ὁ Θεὸς κάθηται ἐπὶ θρόνου ἁγίου αὐτοῦ.
Καὶ αὐτὸς κρινεῖ τὴν οἰκουμένην ἐν δικαιοσύνῃ.
Κύριε ἐν τῷ οὐρανῷ τὸ ἔλεός σου, ⸗ ἡ ἀλήθειά σου ἕως τῶν νεφελῶν.
Ὁ θρόνος σου ὁ Θεὸς εἰς τὸν αἰῶνα τοῦ αἰῶνος.
Ἕτοιμος ὁ θρόνος σου ἀπὸ τότε ἀπὸ τοῦ αἰῶνος σὺ εἶ.
Ἀνέβης εἰς ὕψος, ᾐχμαλώτευσας αἰχμαλωσίαν.
Κάθισαι ἐπὶ θρόνου ὁ κρίνων δικαιοσύνην.
Ὅτι ἐπήρθη ἡ μεγαλοπρέπειά σου ὑπεράνω τῶν Οὐρανῶν.
Σχολάσατε ⸗ γνῶτε ὅτι ἐγώ εἰμι ὁ Θεός.
Ψάλατε ἐπὶ τοὺς οὐρανοὺς ὁ Θεὸς ⸗ ἐπὶ πᾶσαν τὴν γῆν ἡ δόξα σου.
Ψάλατε ὁ κρίνων τὴν γῆν.
Θαυμαστὸς ἐν ὑψηλοῖς ὁ Κύριος.
Ὁ οὐρανὸς τοῦ οὐρανοῦ τῷ Κυρίῳ, τὴν δὲ γῆν ἔδωκε τοῖς Υἱοῖς τῶν ἀνθρώπων.
Τίς ὡς Κύριος ὁ Θεὸς ἡμῶν, ὁ ἐν ὑψηλοῖς.
Ὁ κατοικῶν καὶ τὰ ταπεινὰ ἐφορᾷ ἐν τῷ οὐρανῷ καὶ ἐν τῇ γῇ.
Ψάλατε Κύριε ἐν τῇ δυνάμει σου.
Ἄσωμεν ⸗ ψαλῶμεν τὰς δυναστείας σου.
Ψάλλατε τῷ Θεῷ ἡμῶν ψάλλατε.
Ψάλλατε τῷ βασιλεῖ ἡμῶν ψάλλατε.
Τῷ ἐπιβεβηκότι ἐπὶ τὸν οὐρανὸν τοῦ οὐρανοῦ κατὰ ἀνατολάς.
Ὑψοῦτε Κύριον τὸν Θεὸν ἡμῶν, καὶ προσκυνεῖτε εἰς ὄρος ἅγιον αὐτοῦ, ὅτι ἅγιος Κύριος ὁ Θεὸς ἡμῶν.

Δόξα. Καὶ νῦν. Ἀλληλούϊα.

Εἰς

Εἰς τὴν Ἁγίαν Πεντηκοστήν.

Τὸ Στερέωμα. Ἀλληλούϊα.

Οἱ οὐρανοὶ διηγοῦνται δόξαν Θεοῦ, ποίησιν δὲ χειρῶν αὐτοῦ ἀναγγέλλει τὸ στερέωμα.
Τῷ λόγῳ Κυρίου οἱ οὐρανοὶ ἐστερεώθησαν.
Καὶ τῷ πνεύματι τοῦ στόματος αὐτοῦ πᾶσα ἡ δύναμις αὐτῶν.
Ὅτι ἐξέκυψεν ἐξ ὕψους ἁγίου αὐτοῦ.
Ἐξ οὐρανοῦ ἐπέβλεψεν ὁ Κύριος, εἶδε πάντας τοὺς υἱοὺς τῶν ἀνθρώπων.
Πῦρ ἐνώπιον αὐτοῦ προπορεύσεται.
Καὶ κύκλῳ αὐτοῦ καταιγὶς σφοδρά.
Ἀνθρακες ἀνήφθησαν ἀπ' αὐτοῦ.
Καὶ ἔκλινεν οὐρανοὺς, καὶ κατέβη.
Ἀπὸ τῆς θλαυγήσεως ἐνώπιον αὐτοῦ αἱ νεφέλαι διῆλθον.
Πτέρυγες περιστερᾶς περιηργυρωμέναι.
Καὶ τὰ μετάφρενα αὐτῆς ἐν χλωρότητι χρυσίου.
Ἐκ Σιὼν ἡ ἀπρέπεια τῆς ὡραιότητος αὐτοῦ.
Ἐν τῷ διαστέλλειν τὸν ἐπουράνιον.
Βασιλεῖς ἐπ' αὐτῆς χιονωθήσονται ἐν Σελμών.
Μηνθήσονται καὶ ἐπιστραφήσονται πρὸς Κύριον πάντα τὰ πέρατα τῆς γῆς.
Καὶ προσκυνήσουσιν ἐνώπιον αὐτοῦ πᾶσαι αἱ πατριαὶ τῶν ἐθνῶν.
Ὅτι τοῦ Κυρίου ἡ βασιλεία, καὶ αὐτὸς δεσπόζει τῶν ἐθνῶν.
Ὁ νόμος Κυρίου ἄμωμος ἐπιστρέφων ψυχάς.
Ἡ μαρτυρία Κυρίου πιστὴ σοφίζουσα νήπια.
Τὰ δικαιώματα Κυρίου εὐθέα, εὐφραίνοντα καρδίαν.
Ἡ ἐντολὴ Κυρίου θλαυγὴς, φωτίζουσα ὀφθαλμούς.
Γῆ ἐσείσθη καὶ ἐγενήθη οἱ οὐρανοὶ ἔσταξαν ἀπὸ προσώπου τοῦ Θεοῦ τοῦ Σινὰ ἀπὸ προσώπου τοῦ Θεοῦ Ἰσραήλ.

Βρο-

Βροχὼ ἐκούσιον ἀφορίεις ὁ Θεὸς τῇ κληρονομίᾳ σου καὶ ἠσθένησε.
Σὺ δὲ κατηρτίσω αὐτῷ.
Ἀντὶ τῶν πατέρων σου ἐγενήθησαν οἱ υἱοί σου.
Καταστήσεις αὐτοὺς ἄρχοντας ἐπὶ πᾶσαν τὴν γῆν.
Εἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν ὁ φθόγγος αὐτῶν.
Καὶ εἰς τὰ πέρατα τῆς οἰκουμένης τὰ ῥήματα αὐτῶν.
Ἐξαποστελεῖς τὸ πνεῦμά σου, καὶ κτισθήσονται.
Καὶ ἀνακαινιεῖς τὸ πρόσωπον τῆς γῆς.
Τὸ πνεῦμα σου τὸ ἀγαθὸν ὁδηγήσει με ἐν γῇ εὐθείᾳ.
Καρδίαν καθαρὰν κτίσον ἐν ἐμοὶ ὁ Θεός.
Καὶ πνεῦμα εὐθὲς ἐγκαίνισον ἐν τοῖς ἐγκάτοις μου.
Μὴ ἀποῤῥίψῃς με ἀπὸ τοῦ προσώπου σου, καὶ τὸ πνεῦμα σου τὸ ἅγιον μὴ ἀντανέλῃς ἀπ' ἐμοῦ.
Ἀπόδος μοι τὴν ἀγαλλίασιν τοῦ σωτηρίου σου.
Καὶ πνεύματι ἡγεμονικῷ στήριξόν με.
Κύριος δώσει ῥῆμα τοῖς εὐαγγελιζομένοις δυνάμει πολλῇ.
Κύριος ἰσχὺν τῷ λαῷ αὐτοῦ δώσει.
Κύριος εὐλογήσει τὸν λαὸν αὐτοῦ ἐν εἰρήνῃ.

Δόξα, Καὶ νῦν. Ἀλληλούϊα.

Εἰς

Εἰς τὸ Γεννέσιον τῦ τιμίυ ἐνδόξυ Προφήτυ Προδρόμυ.

Τῷ λαῷ αὐτῦ. Ἀλληλούϊα.

Εὐλογητὸς Κύριος ὁ Θεὸς τῦ Ἰσραὴλ, ὅτι ἐπεσκέψατο καὶ ἐποίησε λύτρωσιν τῷ λαῷ αὐτῦ.
Καὶ ἤγειρε κέρας σωτηρίας ἡμῖν ἐν τῷ οἴκῳ Δαβὶδ τῦ παιδὸς αὐτῦ.
Ὥμοσε Κύριος τῷ Δαβὶδ ἀλήθειαν, καὶ ὐ μὴ ἀθετήσει αὐτὼ.
Ἐκ καρπῦ τῆς κοιλίας συ θήσομαι ἐπὶ τῦ θρόνυ συ.
Ἐκεῖ ἐξαπατελῶ κέρας τῷ Δαβίδ.
Ἡτοίμασα λύχνον τῷ Χριστῷ μυ.
Μακάριος ἀνὴρ ὁ φοβύμενος τὸν Κύριον.
Ἐν ταῖς ἐντολαῖς αὐτῦ θελήσει σφόδρα.
Δυνατὸν ἐν τῇ γῇ ἔσται τὸ σπέρμα αὐτῦ.
Γενεὰ εὐθέων εὐλογηθήσεται.
Δόξα καὶ πλῦτος ἐν τῷ οἴκῳ αὐτῦ.
Καὶ ἡ δικαιοσύνη αὐτῦ μένει εἰς τὸν αἰῶνα τῦ αἰῶνος.
Ἐξανέτειλεν ἐν σκότει φῶς τοῖς εὐθέσιν.
Οἰκτίρμων καὶ οἰκτίρμων καὶ δίκαιος κύριος ὁ οἰκτείρων καὶ κιχρῶν.
Εἰς μνημόσυνον αἰώνιον ἔσται δίκαιος.
Ἀπὸ ἀκοῆς πονηρᾶς ὐ φοβηθήσεται.
Ἑτοίμη ἡ καρδία αὐτῦ ἐλπίζειν ἐπὶ Κύριον.
Ἐστήρικται ἡ καρδία αὐτῦ, ὐ μὴ φοβηθῇ.
Ἐσκόρπισεν, ἔδωκε τοῖς πένησιν, ἡ δικαιοσύνη αὐτῦ μένει εἰς τὸν αἰῶνα τῦ αἰῶνος.
Σωτηρία δὲ τῦ δικαίυ παρὰ Κυρίυ.
Οὐ δώσει εἰς τὸν αἰῶνα σάλον τῷ δικαίῳ.
Καὶ ὐχ ὑποσκελισθήσεται τὰ διαβήματα αὐτῦ.

Φῶς

Φῶς αἰέτειλε τῷ δικαίῳ, καὶ τοῖς εὐθέσι τῇ καρδίᾳ εὐφροσύνη.

Καὶ σὺ παιδίον προφήτης ὑψίστου κληθήσῃ.

Προπορεύσῃ γὰρ πρὸ προσώπου Κυρίου ἑτοιμάσαι ὁδοὺς αὐτοῦ.

Τοῦ δοῦναι γνῶσιν σωτηρίας τῷ λαῷ αὐτοῦ, ἐν ἀφέσει ἁμαρτιῶν αὐτῶν, διὰ σπλάγχνα ἐλέους Θεοῦ ἡμῶν.

Ὅτι σὺ εὐλογήσεις δίκαιον Κύριε.

Δόξῃ καὶ τιμῇ ἐστεφάνωσας αὐτόν.

Τοῦ κατευθῦναι τοὺς πόδας ἡμῶν εἰς ὁδὸν εἰρήνης.

Δόξα. Καὶ νῦν. Ἀλληλούϊα.

Εἰς τὴν Κοίμησιν τῆς Ἁγίας καὶ Θεοπρομήτορος Ἄννης.

Τῆς δεήσεώς μου. Ἀλληλούϊα.

Ἠγάπησα ὅτι εἰσακούσεται Κύριος τῆς φωνῆς τῆς δεήσεώς μου.

Ὅτι ἔκλινε τὸ οὖς αὐτοῦ ἐμοὶ, καὶ ἐν ταῖς ἡμέραις μου ἐπικαλέσομαι.

Τί ἀνταποδώσω τῷ Κυρίῳ περὶ πάντων, ὧν ἀνταπέδωκέ μοι.

Ἐκ θλίψεως ἐπεκαλεσάμην τὸν Κύριον, καὶ ἐπήκουσέ μου εἰς πλατυσμόν.

Οἱ φοβούμενοι τὸν Κύριον ἤλπισαν ἐπὶ Κύριον.

Βοηθὸς καὶ ὑπερασπιστὴς αὐτῶν ἐστίν.

Ἰσχύς μου καὶ ὕμνησίς μου ὁ Κύριος, καὶ ἐγένετό μοι εἰς σωτηρίαν.

Φωνὴ ἀγαλλιάσεως καὶ σωτηρίας ἐν σκηναῖς δικαίων.

Δεξιὰ Κυρίου ἐποίησε δύναμιν, δεξιὰ Κυρίου ὕψωσέ με.

Ἐξομολογήσομαί σοι ὅτι ἐπήκουσάς μου, καὶ ἐγένου μοι εἰς σωτηρίαν.

Διέρ-

Διέῤῥηξας τὰς δεσμάς μȣ, σοὶ θύσω θυσίαν αἰνέσεως, καὶ ἐν ὀνόματι Κυρίȣ ἐπικαλέσομαι.
Κύριος μνησθεὶς ἡμῶν, εὐλόγησον ἡμᾶς.
Διεπορεύόμην ἐν ἀκακίᾳ καρδίας μȣ ἐν μέσῳ τῦ οἴκȣ μȣ.
Κύριε εἰσάκȣσον τῆς προσευχῆς μȣ, καὶ ἡ κραυγή μȣ πρὸς σὲ ἐλθέτω.
Ὅλην τὴν ἡμέραν ὠνείδιζόν με οἱ ἐχθροί μȣ, καὶ οἱ ἐπαινοῦντες με κατ' ἐμȣ ὤμνυον.
Ἐπέβλεψαν ἐπὶ τὴν προσευχήν μȣ τῇ ταπεινώσει, καὶ ȣ̓κ ἔζȣδωσε τὴν δέησιν αὐτῶν.
Κύριος ἔζ ȣ̓ρανȣ̃ ἐπέβλεψεν ἐπὶ τὴν γῆν τȣ̃ ἀκȣ̃σαι τȣ̃ στεναγμȣ̃ τῶν πεπεδημένων.
Μνήσθητι Κύριε τȣ̃ ὀνειδισμȣ̃ τῶν δύλων σȣ, ὃ ὑπέχω ἐν τῷ κόλπῳ μȣ πολλῶν ἐθνῶν.
Ἤκȣσε καὶ ἐφράνθη ἡ Σιὼν, καὶ ἠγαλλιάσαντο αἱ θυγατέρες τῆς Ἰȣδαίας, ἕνεκεν τῶν κριμάτων σȣ Κύριε.
Ἤκȣσεν ἐκ Ναȣ̃ Ἁγίȣ αὐτȣ̃ φωνῆς μȣ, καὶ ἡ κραυγή μȣ ἐμπρόσθιον αὐτȣ̃ εἰσελεύσεται εἰς τὰ ὦτα αὐτȣ̃.
Εὐφραινέσθω καρδία ζητȣ́ντων τὸν Κύριον, ζητήσατε τὸν Κύριον, καὶ κραταιώθητε.
Ἐξαπέστειλεν ἔζ ȣ̓ρανȣ̃ καὶ ἔσωσέ με, ἔδωκεν εἰς ὄνειδος τȣ̀ς καταπατȣ́ντάς με.
Ἀγαθὸν ἐλπίζειν ἐπὶ Κύριον, ἢ ἐλπίζειν ἐπ' ἄρχουσιν.
Ἀγαθὸν πεποιθέναι ἐπὶ Κύριον, ἢ πεποιθέναι ἐπ' ἀνθρωπον.
Ἐγὼ δὲ ὡσεὶ ἐλαία κατάκαρπος ἐν τῷ οἴκῳ τȣ̃ Θεȣ̃, ἤλπισα ἐπὶ τὸ ἔλεος τȣ̃ Θεȣ̃ εἰς τὸν αἰῶνα, καὶ εἰς τὸν αἰῶνα τȣ̃ αἰῶνος.
Ὡμοσε Κύριος τῷ Δαβὶδ ἀλήθειαν, καὶ ȣ̓ μὴ ἀθετήσει αὐτώ.
Ἐκ καρπȣ̃ τῆς κοιλίας σȣ θήσομαι ἐπὶ τȣ̃ θρόνȣ σȣ.
Ἐκεῖ ἐξαστελῶ κέρας τῷ Δαβίδ.

Onomastico Ss.

Εὐλογητὸς ὁ Θεὸς, ὃς οὐκ ἀπέστησε τὴν προσευχήν μου, καὶ τὸ ἔλεος αὐτοῦ ἀπ' ἐμοῦ.

Δόξα. Καὶ νῦν. Ἀλληλούϊα.

Εἰς τὴν Ἑορτὴν τοῦ Προφήτου Ἠλιοῦ.

Ὅλην τὴν ἡμέραν. Ἀλληλούϊα.

Κύριε ἐν τῷ φωτὶ τοῦ προσώπου σου πορεύσονται, καὶ ἐν τῷ ὀνόματί σου ἀγαλλιάσονται ὅλην τὴν ἡμέραν.

Ἔκχεον τὴν ὀργήν σου ἐπὶ τὰ ἔθνη τὰ μὴ γινώσκοντά σε.

Καὶ ἐπὶ βασιλείας, αἳ τὸ ὄνομά σου οὐκ ἐπεκαλέσαντο.

Ὁ Θεὸς ἔστη ἐν συναγωγῇ Θεῶν, ἐν μέσῳ δὲ θεοὺς διακρινεῖ.

Καὶ ἐπάταξε τοὺς ἐχθροὺς αὐτοῦ εἰς τὰ ὀπίσω.

Ὄνειδος αἰώνιον ἔδωκεν αὐτοῖς.

Οἱ ἱερεῖς αὐτῶν ἐν ῥομφαίᾳ ἔπεσον.

Ἐπὶ τὸν λαόν σου κατεπανουργάσαντο γνώμην, καὶ ἐβουλεύσαντο κατὰ τοῦ Ἁγίου σου.

Ὁ Θεὸς ὁ ἐνδοξαζόμενος ἐν βουλῇ Ἁγίων.

Μέγας καὶ φοβερὸς ἐστὶν ἐπὶ πάντας τοὺς περικύκλῳ αὐτοῦ.

Δίκαιος ὡς φοῖνιξ ἀνθήσει, ὡσεὶ κέδρος ἡ ἐν τῷ λιβάνῳ πληθυνθήσεται.

Εὗρον Δαβὶδ τὸν δοῦλόν μου, ἐν ἐλαίῳ ἁγίῳ μου ἔχρισα αὐτόν.

Καὶ συγκόψω ἀπὸ προσώπου αὐτοῦ τοὺς ἐχθροὺς αὐτοῦ.

Καὶ τοὺς μισοῦντας αὐτὸν τροπώσομαι.

Καὶ ῥύσομαι αὐτὸν, σκεπάσω αὐτὸν ὅτι ἔγνω τὸ ὄνομά μου.

Μὴ ἅπτεσθε τοῦ χριστῶν μου, καὶ ἐν τοῖς Προφήταις μου μὴ πονηρεύεσθε.

Καὶ ἐκάλεσε λιμὸν ἐπὶ τὴν γῆν.

Παῦ

Παῦ ῥήγμα ἄρτι συνέτριψε.
Σὺ Ἱερεὺς εἰς τὸν αἰῶνα κατὰ τὴν τάξιν Μελχισεδέκ.
Ἐμίσησα ἐκκλησίαν πονηρευομένων, καὶ μετὰ ἀσεβῶν οὐ μὴ καθίσω.
Μακρότητα ἡμερῶν ἐμπλήσω αὐτὸν, καὶ δείξω αὐτῷ τὸ σωτήριόν μου.
Οὐκ ἀποθανοῦμαι, ἀλλὰ ζήσομαι, καὶ διηγήσομαι τὰ ἔργα Κυρίου.
Ἀλλ' ἡμεῖς οἱ ζῶντες εὐλογήσομεν τὸν Κύριον ἀπὸ τῦ νῦν καὶ ἕως τῦ αἰῶνος.

Δόξα. Καὶ νῦν. Ἀλληλούϊα.

Εἰς τὴν Μεταμόρφωσιν τῦ Σωτῆρος ἡμῶν Ἰησῦ Χριστῦ.

Ἐν ὄρει Ἁγίῳ αὐτῦ. Ἀλληλούϊα.

Μέγας Κύριος καὶ αἰνετὸς σφόδρα ἐν πόλει τῦ Θεῦ ἡμῶν, ἐν ὄρει ἁγίῳ αὐτῦ.
Ἑτοιμάζων ὄρη ἐν τῇ ἰσχύϊ αὐτῦ.
Ἀμπαλλόμενος φῶς ὡς ἱμάτιον.
Ἐξομολόγησις καὶ ὡραιότης ἐνώπιον αὐτῦ.
Πιανθήσονται τὰ ὡραῖα τῆς ἐρήμου.
Καὶ ἀγαλλίασιν οἱ βουνοὶ περιζώσονται.
Ὄρος τῦ Θεῦ, ὄρος πῖον, ὄρος τετυρωμένον.
Τίς ἀναβήσεται εἰς τὸ ὄρος τῦ Κυρίου;
Ἢ τίς στήσεται ἐν τόπῳ ἁγίῳ αὐτῦ;
Κύριε τίς παροικήσει ἐν τῇ σκηνώματί σου;
Ἢ τίς κατασκηνώσει ἐν ὄρει ἁγίῳ σου.
Ἐξαπόστειλον τὸ φῶς σου καὶ τὴν ἀλήθειάν σου.
Αὐτά με ὡδήγησαν καὶ ἤγαγόν με εἰς ὄρος ἅγιόν σου.
Φωτίζεις σὺ θαυμαστῶς ἀπὸ ὀρέων αἰωνίων.
Σὴ ἐστὶν ἡ ἡμέρα, καὶ σὴ ἐστὶν ἡ νύξ.

Σὺ κατηρτίσω φαῦσιν ⸗ ἥλιον.
Σὺ ἐποίησας πάντα τὰ ὡραῖα τῆς γῆς.
Σοὶ εἰσὶν οἱ οὐρανοὶ, ⸗ σὴ ἐστὶν ἡ γῆ.
Τὴν οἰκουμένην ⸗ τὸ πλήρωμα αὐτῆς σὺ ἐθεμελίωσας.
Τὸν βορρᾶν ⸗ τὴν θάλασσαν σὺ ἔκτισας.
Θαβὼρ ⸗ Ἑρμὼν ἐν τῷ ὀνόματί σου ἀγαλλιάσονται.
Κρος τοῦτο, ὃ ἐκτήσατο ἡ δεξιὰ αὐτοῦ.
Τίς ἀναβήσεται εἰς τὸ ὄρος τοῦ Κυρίου;
Ἢ τίς στήσεται ἐν τόπῳ ἁγίῳ αὐτοῦ;
Καὶ ὀξοίσει ὡς φῶς τὴν δικαιοσύνην σου ⸗ τὸ κρίμα σου ὡς μεσημβρίαν.
Ἀλλ' ἡ δεξιά σου, ⸗ ὁ βραχίων σου, ⸗ ὁ φωτισμὸς τοῦ προσώπου σου.
Κύριε ἐν τῷ φωτὶ τοῦ προσώπου σου πορεύσονται.
Καὶ ἐν τῷ ὀνόματί σου ἀγαλλιάσονται ὅλην τὴν ἡμέραν.
Καὶ ἔσται ἡ λαμπρότης Κυρίου τοῦ Θεοῦ ἡμῶν ἐφ' ἡμᾶς ἀπὸ τοῦ νῦν ⸗ ἕως τοῦ αἰῶνος.

Δόξα. Καὶ νῦν. Ἀλληλούϊα.

Εἰς

Εἰς τὴν Κοίμησιν τῆς Ὑπεραγίας Δεσποίνης ἡμῶν Θεοτόκυ.

Πᾶσα ἡ γῆ. Ἀλληλούϊα.

Ἀλαλάξατε τῷ Κυρίῳ πᾶσα ἡ γῆ.
Ἀλαλάξατε ἐνώπιον τῦ Βασιλέως Κυρίυ.
Ἐξομολογεῖσθε αὐτῷ, αἰνεῖτε τὸ ὄνομα αὐτῦ.
Ἐν πόλει Κυρίυ τῇ δυνάμεων ἐν πόλει τῦ Θεῦ ἡμῶν.
Ἐγενήθη ἐν εἰρήνῃ ὁ τόπος αὐτῦ.
Καὶ τὸ κατοικητήριον αὐτῦ ἐν Σιών.
Ἀγαπᾷ Κύριος τὰς πύλας Σιὼν, ὑπὲρ πάντα τὰ σκηνώματα Ἰακώβ.
Δεδοξασμένα ἐλαλήθη περὶ σῦ ἡ πόλις τῦ Θεῦ.
Ὁ Θεὸς ἐθεμελίωσεν αὐτὴν εἰς τὸν αἰῶνα.
Ὁ Θεὸς ἐν μέσῳ αὐτῆς καὶ οὐ σαλευθήσεται.
Ἡγίασε τὸ σκήνωμα αὐτῦ ὁ ὕψιστος.
Ἁγιωσύνη καὶ μεγαλοπρέπεια ἐν τῷ ἁγιάσματι αὐτῦ.
Ἑτοίμη ἡ καρδία μυ ὁ Θεὸς, ἑτοίμη ἡ καρδία μυ.
Ἄσομαι καὶ ψαλῶ ἐν τῇ δόξῃ μυ.
Τί ἀνταποδώσω τῷ Κυρίῳ περὶ πάντων, ὧν ἀνταπέδωκέ μοι;
Ὄρος Σιὼν τῦτο, ὃ κατεσκήνωσας ἐν αὐτῷ.
Ποτήριον σωτηρίυ λήψομαι, καὶ τὸ ὄνομα Κυρίυ ἐπικαλέσομαι.
Ἐν εἰρήνῃ ἐπὶ τὸ αὐτὸ κοιμηθήσομαι καὶ ὑπνώσω.
Ἐπίστρεψον ψυχή μυ εἰς τὴν ἀνάπαυσίν συ, ὅτι Κύριος εὐηργέτησέ σε.
Εἰς χεῖράς συ παραθήσομαι τὸ πνεῦμά μυ.
Κύριος δίκαιος συνέκοψεν αὐχένας ἁμαρτωλῶν.
Κύριε ὁ Θεός μυ, εἰς τὸν αἰῶνα ἐξομολογήσομαί σοι.
Σὺ ἔπλασάς με, καὶ ἔθηκας ἐπ' ἐμὲ τὴν χεῖρά συ.
Ἐκράτησας τῆς χειρὸς τῆς δεξιᾶς μυ.
Καὶ μετὰ δόξης προσελάβυ μυ.

Ὅτι

Ὅτι διελάσομαι ἐν τοπῳ σκιωῆς θαυμαςῆς, ἕως τῦ οἴκου τῦ Θεῦ.
Ἐν φωνῇ ἀγαλλιάσεως ⸗ σωτηρίας, ἐν σκιωαῖς δικαίων.
Αὕτη ἡ ἀλλοίωσις τῆς δεξιᾶς τῦ ὑψίςυ.
Ἐγὼ δὲ ἐν δικαιοσύῃ ὀφθήσομαι τῷ προσώπῳ συ.
Χορταθήσομαι ἐν τῷ ὀφθῆναί μοι τὴν δόξαν συ.
Ἀνάςηθι Κύριε εἰς τὴν ἀνάπαυσίν συ.
Σὺ ⸗ ἡ κιβωτὸς τῦ ἁγιάσματός συ.
Ἅγιος ὁ λαός συ, θαυμαςὸς ἐν δικαιοσύῃ.
Τῷ οἴκῳ συ πρέπει ἁγίασμα Κύριε εἰς μακρότητα ἡμερῶν.
Μνηθήσομαι τῦ ὀνόματός συ ἐν πάσῃ γενεᾷ ⸗ γενεᾷ.
Δόξα. Καὶ νυ̃ν. Ἀλληλούϊα.

Εἰς τὴν Ἀποτομὴν τῦ τιμίυ Προδρόμυ.

Ὁ φοβύμενος τὸν Κύριον. Ἀλληλούϊα.

Μακάριος ἀνὴρ ὁ φοβύμενος τὸν Κύριον.
Ἐν ταῖς ἐντολαῖς αὐτῦ θελήσει σφόδρα.
Γενεὰ εὐθέων εὐλογηθήσεται.
Δόξα ⸗ πλῦτος ἐν τῷ οἴκῳ αὐτῦ.
Καὶ ἡ δικαιοσύη αὐτῦ μένει εἰς τὸν αἰῶνα τῦ αἰῶνος.
Ὁ Θεὸς ἦλθοσαν ἔθνη εἰς τὴν κληρονομίαν συ, ἐμίανάν τὸν ναὸν τὸν ἅγιόν συ.
Ἔθεντο Ἰερυσαλὴμ ὡς ὀπωροφυλάκιον.
Ἔθεντο τὰ θνησιμαῖα τοῖς δύλοις συ βρώματα τοῖς πετεινοῖς τῦ ὐρανῦ.
Τὰς σάρκας τοῖς ὁσίοις συ τοῖς θηρίοις τῆς γῆς.
Ἐξέχεαν τὸ αἷμα αὐτῶν ὡσεὶ ὕδωρ κύκλω Ἰερυσαλὴμ, ⸗ ὐκ ἦν ὁ θάπτων.
Διὰ τὸς λόγυς τῶν χειλέων συ ἐγὼ ἐφύλαξα ὁδὸς σκληράς.

Τῶν

Τῳ ἀληθειαῴ σε, καὶ τὸ σωτήριόν σε εἶπα.
Οὐκ ἔκρυψα τὸ ἔλεός σε ἐν τῳ ἀληθειαῴ σε ἀπὸ συναγωγῆς πολλῆς.
Τῳ δικαιοσυνῳ σε οὐκ ἔκρυψα ἐν τῇ καρδίᾳ με.
Εἶπα τοῖς παρανομῦσι μὴ παρανομεῖτε, καὶ τοῖς ἁμαρτανῦσι μὴ ὑψῦτε κέρας.
Ἰδὲ τὰ χείλημε ὐ μὴ κωλύσω, Κύριε σὺ ἔγνως.
Καὶ ἤλεγξεν ὑπὲρ αὐτῶν Βασιλεῖς.
Μὴ ἅπτεσθε τῶν χριστῶν με, καὶ ἐν τοῖς προφήταις με μὴ πονηρεύεσθε.
Ἀπέστειλεν ἔμπροσθεν αὐτῶν ἄνθρωπον.
Ἐλεήμων καὶ οἰκτίρμων καὶ δίκαιος.
Χρηστὸς ἀνὴρ ὁ οἰκτείρων καὶ κιχρῶν.
Εἰς μνημόσυνον αἰώνιον ἔσται δίκαιος.
Ἑτοίμη ἡ καρδία αὐτῦ ἐλπίζειν ἐπὶ Κύριον.
Ἁμαρτωλὸς ὄψεται καὶ ὀργισθήσεται.
Τοὺς ὀδόντας αὐτῦ βρύξει καὶ τακήσεται.
Ἐπιθυμία ἁμαρτωλῦ ἀπολεῖται.
Δίκαιος ὡς φοῖνιξ ἀνθήσει.
Ὡσεὶ κέδρος ἡ ἐν τῷ λιβάνῳ πληθυνθήσεται.
Εὐφρανθήσεται δίκαιος ἐν τῷ Κυρίῳ, καὶ ἐλπιεῖ ἐπ' αὐτόν.
Ἰδὲ ἐμάκρυνα φυγαδεύων, καὶ ηὐλίσθην ἐν τῇ ἐρήμῳ.
Ὡμοιώθην πελεκανὶ ἐρημικῷ.
Ἐγενήθην ὡσεὶ νυκτικόραξ ἐν οἰκοπέδῳ.
Ἠγρύπνησα καὶ ἐγενόμην ὡς στρθίον μονάζων ἐπὶ δώματος.
Οὔτε ἡ ἀνομία με, οὔτε ἡ ἁμαρτία με Κύριε, ἀλλ' ἀνομίας ἔδραμον, καὶ κατεύθυνα.
Πορευόμενος ἄμωμος, καὶ ἐργαζόμενος δικαιοσύνην.
Μακάριοι οἱ φυλάσσοντες κρίσιν, καὶ ποιοῦντες δικαιοσύνην ἐν παντὶ καιρῷ.
Φυλάσσει Κύριος πάντας τοὺς ἀγαπῶντας αὐτόν.

Αἶ-

Αἴνεσιν Κυρίῳ λαλήσει τὸ στόμα μου.
Καὶ ἡ γλῶσσά μου μελετήσει τὴν δικαιοσύνην σου ὅλην τὴν ἡμέραν τὸν ἔπαινόν σου.
Καὶ εὐλογείτω πᾶσα σὰρξ τὸ ὄνομα τὸ ἅγιον αὐτοῦ εἰς τὸν αἰῶνα, καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος.

Δόξα καὶ νῦν. Ἀλληλούϊα ἐκ τρίτου.

Τέλος τῆς Ἐκλογῆς.



ΟΙΚΟΙ

ΕΙΣ ΤΟΝ ΑΓΙΟΝ ΙΩΑΝΝΗΝ ΤΟΝ ΠΡΟΔΡΟΜΟΝ.

Τῇ ὑπερμάχῳ στρατηγῷ.

Τῷ ὑπὲρ πάντας ἀληθῶς Ἁγίους μείζονι, ὁ ὑπὲρ πάντας ἁμαρτήσας τοὺς ἀνομήσαντας, τὸ ἐφύμνιον προσφέρω σοι Ἰωάννη. ὡς ἓν ἔχων παῤῥησίαν πρὸς τὸν Κύριον, ἐκ παντοίων με κινδύνων ἐλεύθερωσον, ἵνα κράζωσοι, χαῖρε Κήρυξ τῆς χάριτος.

Ἔρχομαί σοι τὸν ὕμνον, θεούμνητε Μάκαρ, χαρᾷ συνειλημμένος καὶ φόβῳ, δύφημῶν γὰρ ἥδομαι τὰ σὰ, ἀπορῶν δὲ λόγῳ, δειλιῶ, Πρόδρομε, αὐτὸς δὲ ἐνισχύων με, ᾠδάχε ἐπαξίως λέγειν.

Χαῖρε, δι' ἧς ἡ χαρὰ ἐφάνη.
Χαῖρε, δι' ἧς ἡ ἀρὰ ἐφθάρη.
Χαῖρε τῆς περάτων τῆς γῆς ὁ Διδάσκαλος.
Χαῖρε τῆς περάτων Χριστοῦ ὁ Προάγγελος.
Χαῖρε μῆκος ἁγιότητος, φθανον μέχρις Οὐρανοῦ.
Χαῖρε πλάτος καθαρότητος, ἁγιάζον πᾶσαν γῆν.
Χαῖρε ὅτι Τριάδα τὴν ἁγίαν κατεῖδες.
Χαῖρε ὅτι δυάδα ὑλικὴν ὑπερεῖδες.
Χαῖρε ἀστὴρ δεικνύων τὸν ἥλιον.
Χαῖρε φωστὴρ φωτίζων ὑφήλιον.

Onomastico Ss.

Χαῖρε, δι' ἧς ὁ Χριστὸς ἐμωλύθη.
Χαῖρε, δι' ἧς ὁ Σατὰν ἐμισήθη.

Χαῖρε Κήρυξ τῆς Χάριτος.

Βλέπων φῶς ἀνθρώπων κείμενον ἀπανθρώπως, ἀνίσταται Θεὸς φιλανθρώπως, καὶ θελήσας πέμψαι τὸν Υἱὸν, ἐκκαθάραι πάντα τὸν ἰὸν τῆς ὄφεως, προέπεμψε τὸν Πρόδρομον, κηρύξαι τοῖς ἀνθρώποις λέγειν

Ἀλληλούϊα.

Γόννησιν Ζαχαρίας θυμιάματος ὥρᾳ μανθάνει τοῦ Υἱοῦ δι' Ἀγγέλου. οἷς δ' ἠπίστησε τούτῳ λαλῶν κατακέκριται μήτι λαλεῖν. βλέψας δὲ τῷ ἔκβασιν τοῦ λόγου τοῦ Ἀγγέλου, τὸ λαλεῖν λαμβάνει.
Χαῖρε ἡ θύρα τῆς Σωτηρίας.
Χαῖρε ἡ λύρα τῆς Ἐκκλησίας.
Χαῖρε Προφητῶν τοῦ Θεοῦ τὸ συμπέρασμα.
Χαῖρε ἀρετῶν ἁπασῶν τὸ συμφόρημα.
Χαῖρε Ἄγγελε ὀπίγειε παρουσίας τοῦ Χριστοῦ.
Χαῖρε ἄνθρωπε οὐράνιε Βασιλείας τοῦ Θεοῦ.
Χαῖρε τῆς ἐγκρατείας ὁ σοφὸς παραινέτης.
Χαῖρε τῆς ἀκρασίας ὁ ὀξὺς ἀναιρέτης.
Χαῖρε κρατὴρ τοῦ νέκταρος πάροχε.
Χαῖρε λυτὴρ καθάρσεως πρόξενε.
Χαῖρε φρυκτὴρ καυστικὲ τῆς ἀπάτης.
Χαῖρε λαμπτὴρ φαυτικὲ γῆς ἁπάσης.

Χαῖρε Κήρυξ τῆς Χάριτος.

Λεξιῶται ἀσμενῶς ἀπασμῷ ἡ Παρθένος, ἀρδοῦσα κυοφόρον τῷ σειραν. ὁ δὲ Κήρυξ σῦδον τῆς Μητρὸς ὀπιγνὺς τὸν ἔσω τῆς γαστρὸς Κύριον, ὡς ῥήμασι τοῖς ἅλμασι χρησάμενος, ἐβόα λέγων

Ἀλληλούϊα.

Ἔχαιρον τῇ γονήσει, καὶ ἠρύων τῷ κλῆσιν μαθεῖν οἱ συγγρεῖς Ἰωάννου, γράμμασι δὲ ταύτην ἐκτυπῶν Ζαχαρίας, τέως σιωπῶν, φθέγγεται. οἱ δὲ δῆθεν ἐχάρησαν, ἐθαύμασαν, βοῶντες ὅτω·
Χαῖρε φωνῶ τοῦ παιδὸς ὁ δήσας.
Χαῖρε σιγῶ τοῦ αὐτοῦ ὁ λύσας.
Χαῖρε τῶν ἀγόνων λαγόνων τὸ κύημα.
Χαῖρε τῶν ἀκάρπων τὸ εὔκαρπον βλάστημα.
Χαῖρε κύκλος ὁ διόρθωτος, κέντρον ἔχων τὸν Χριστόν.
Χαῖρε κύκνος ὁ ὀξύφωνος, πᾶσιν ᾄδων τὰ χρηστά.
Χαῖρε ὁ ἐκ κοιλίας μητρικῆς ἡγνοσμένος.
Χαῖρε ὁ πρὸ κοιλίας τῷ Θεῷ ἐγνωσμένος.
Χαῖρε πηγὴ θαυμάτων ἀκένωτος.
Χαῖρε πλημμὴ δαιμόνων αἰάτου.
Χαῖρε, δι' ἧς ἐφωτίθη ἡ κτίσις.
Χαῖρε, δι' ἧς ἐδοξάθη ὁ Κτίσης.

Χαῖ-

Χαῖρε Κήρυξ τῆς Χάριτος.

Θέων θυμῷ Ἡρῴδης ἀνελεῖν ὁ λυμῴδης, Χριστὸν ζητῶν, τὰ βρέφη προσάσσει. Θεοφορμῶν δὲ τὸν πικρῶς, Ἰωάννης ὁ θεῖος σοφῶς σέσωσο, κηρύξαι τῷ ἀπορρήτων Θεοῦ οἰκονομίαν λέγων

Ἀλληλούϊα.

Ἦλθε ἐν τῇ ἐρήμῳ ἡλικίᾳ αὐχήβῳ Ἄγγελος τὸν Ἄγγελον φέρων, καὶ ὁποῖος ἔσαι ἐννοῶν, τὸ μυστήριον ἐκ ἀγνοῶν ἤδετο, καὶ ἄσμασιν ὡς στέμμασι κατέστεφεν αὐτὸν, κραυγάζων·

Χαῖρε ἡ σύλη τῆς ἀσεβείας.

Χαῖρε ἡ πύλη τῆς Βασιλείας.

Χαῖρε Μωϋσέως τὸ πάλαι δοχεῖον.

Χαῖρε Βασιλέως τὸ παντῶν δοκοῦν.

Χαῖρε μάργαρον κρυπτόμενον ἐν τῷ λύθρῳ τῆς σαρκός.

Χαῖρε ὄργανον κρεόμενον ἐν τῷ πλήκτρῳ τοῦ Θεοῦ.

Χαῖρε ἄρτος σηπίζων νηστευόντων κοιλίας.

Χαῖρε οἶνος ἡδύνων σωφρονούντων καρδίας.

Χαῖρε Χριστοῦ ὁ φέρων τὸ βόπαιον.

Χαῖρε στρῶν παθῶν ἀποβόπαιον.

Χαῖρε, δι' ἧς τὰ ἀρχαῖα παρῆλθε.

Χαῖρε, δι' ἧς τὰ καινὰ ἐπεισῆλθε.

Χαῖρε Κήρυξ τῆς Χάριτος.

Θαυμασὴ πάσῃ φύσει ὤφθη ὡς ὑπὲρ φύσιν ἡ ἐν τῇ ἐρήμῳ σου μετοικία. ἐκ μαζῶν γὰρ δύθυς μητρικῶν πρὸς αὐτὸν μετέβης κατοικεῖν Πρόδρομε, οὐκ οἴνῳ οὐδὲ σίκερα, Θεῷ δὲ ἐνζυφῶν καὶ φάλλων

Ἀλληλούϊα.

Τὴν ὁδόν σου τὸν δρόμον πρὸς οὐράνιον δρόμον, ἀσκήσεως ἐλθὼν πρῶτος δρόμον· καὶ λαμπρός τις γέγονας σοφὲ, καὶ Χριστοῦ δὲ βίου ὑψηλοῦ Πρόδρομος. πρὸς ὃν ἰδυίας ἅπαντας, ἀκούειν ἀδὴ παντὸς ἔτι·

Χαῖρε ἡ τέχνη τῆς ἐγκρατείας.

Χαῖρε ἡ σάθμη τῆς ἀκριβείας.

Χαῖρε τῆς ἀσκήσεως ἔμψυχον ἄγαλμα.

Χαῖρε τῆς ἀθλήσεως θεῖον ἐκτύπωμα.

Χαῖρε ὅρος ὁ ἀκρότατος παρθενίας ἀληθοῦς.

Χαῖρε νόμος ἐνθεώτατος θεωρίας δυαγοῦς.

Χαῖρε ἀκτημοσύνης ὁ λαμπρὸς προηγήτωρ.

Χαῖρε ἁγιωσύνης ὁ σοφὸς εἰσηγήτωρ.

Χαῖρε κανὼν νηστείας θεόσδοτος.

Χαῖρε εἰκὼν ἀγγελίας θεόγραφος.

Χαῖρε ὀρθῆς πολιτείας ὁ γνώμων.

Χαῖρε σοφῆς προμηθείας νοήμων.

Χαῖρε Κήρυξ τῆς Χάριτος.

Κόσμου ἡδυπαθείας, καὶ σαρκὸς προσπαθείας, ἠλόγησαι καθάπαξ Θεόφρον, καὶ ἀκηδίας εἶχες σε ξοφλῶ, ἐκ καμήλε δὲ σολλῶ Πρόδρομε. τοῦ πνεύματος ε σώματος ἔπιδοσιν ζητῶ καὶ λέγων

Ἀλληλούϊα.

Τύβωσιν ἁμαρτίας, βάπτισμα μετανοίας, κηρύσσων ἦλθεν ὁ Ἰωάννης, πᾶσι μετανοεῖτε βοᾶν, βασιλεία γὰρ τῶν οὐρανῶν ἤγγικε, καὶ χάριν ἐχορήγησε πιστοῖς ὡς αὐ αὐτῷ βοῶσι·

Χαῖρε βελῆς τῦ Θεῦ ὁ μύστης.
Χαῖρε ἑλῆς τῶν ψυχῶν ὁ ῥύστης.
Χαῖρε χελιδὼν ἡ τὸ ἔαρ μηνύσασα.
Χαῖρε ἀηδὼν ἡ Χριστὸν κελαδήσασα.
Χαῖρε νᾶμα, ὃ ἐξέῤῥυσε θαυμασίως ἐξ Ἐδέμ.
Χαῖρε πόμα, ὃ ἀνέψυξε τὰς φλεχθείσας ἐξ Ἀδάμ.
Χαῖρε ὁ τῶν παρόντων ἀμελῶν ὡς μὴ ὄντων.
Χαῖρε ὁ τῶν μελλόντων φροντιστὴς ὡς ὄντων.
Χαῖρε, δι' ἧ ὁ πίπτων ἀνίσταται.
Χαῖρε, δι' ἧ ὁ βάλλων ἀφίσταται.
Χαῖρε ψυχῶν πρὸς Θεὸν ὁ ἐκτείνας.
Χαῖρε ὁρμὴ τῆς σαρκὸς ὁ συσείλας.

Χαῖρε Κήρυξ τῆς Χάριτος.

Μετανοίας τὸν σάλπυν τῆς ἐρήμου ὁ σάλπυς κελεύει τὰς ἀκάρπους ἐκφύειν. ἐκκαθάραι ἦκει γάρ φησιν ὁ τὸ πτύον ἔχων τῇ χειρὶ Κύριος, καὶ ἀχυρώδεις καύσων, σωρεύει δὲ ἐγκάρπους, λέγων

Ἀλληλούϊα.

Νέαν θέλων ὁ Κτίσης ἀναδεῖξαι τὴν φύσιν τοῖς ὕδασιν αὐτὴν ἀναπλάττει. καὶ πρὸς τοῦτο φέρει συνεργὸν, ὃ βελήσει πάντα ἐνεργῶν Κύριος, Βαπτίσματος τὸν κήρυκα, ᾧ πάντες οἱ πιστοὶ βοῶμεν·

Χαῖρε φωνὴ τῦ Θεῦ ἁγία.
Χαῖρε σιγὴ τῦ ἐχθρῦ τελεία.
Χαῖρε τῆς ὑσίας βροτῶν τὸ κεφάλαιον.
Χαῖρε παρρησίας Θεῦ τὸ προοίμιον.
Χαῖρε ὅτι ἐπεχόρησε πᾶσα χάρις ἐπὶ σοί.
Χαῖρε ὅτι ὑπεχώρησε πᾶσα πλανὴ δι' σέ.
Χαῖρε ὁ δι'απτύσας τὰ ἰδέα τῦ βίυ.
Χαῖρε ὁ δι'αλύσας τὰ πικρὰ τῶν ἐν βίῳ.
Χαῖρε, δι' ἧ ἐδόθη μετάνοια.
Χαῖρε, δι' ἧ ἐλύθη ἀπόνοια.
Χαῖρε ἀμνὸν τῦ Θεῦ ὁ κηρύξας.
Χαῖρε ἀγνὸν ὁ τὸν βίον τηρήσας.

Χαῖ-

Χαῖρε Κήρυξ τῆς Χάριτος.

Ζωίλων κόνωσιν βλέπων ὁ βαπτίζων τὸ Λόγε, ἐξίσατο καὶ ἴσατο λέγων· ἐγὼ χρείαν ἔχω ὑπὸ σοῦ, καὶ σὺ βαπτισθῆναι πρὸς ἐμὲ γέγονας; ὁ δὲ θαρρεῖν ἐπέταξε, καὶ ἔργον ἐκπληροῦντα, λέγειν Ἀλληλούϊα.

Ὁ χειρὶ πάντα φέρων, σῇ χειρὶ ὑποκλίνει τὴν τότε κεφαλὴν Ἰωάννη, ὁ καθάρσεως χρήζων αὐτὸς, ἀλλ' Ἀδὰμ καθαίρων ἐν αὐτῷ. ὅθεν σοι ὡς λειτουργῷ τῆς χάριτος, χαρίζεται ἀφεῖναι ταῦτα·

Χαῖρε Ἁγίων ἁπάντων μείζων.

Χαῖρε Ἀγγέλων ὅσοι ἐλάττων.

Χαῖρε γυναικῶν ὁ ὑπέρτερος.

Χαῖρε γυναικὸς ἐξ αὐτῆς ὁ ὑπέρλαμπρος.

Χαῖρε κάλαμε τῆς χάριτος νέον νόμον ἐκτυπῶν.

Χαῖρε θάλαμε τοῦ πνεύματος ἐκ πασῶν τὴν ἀρετὴν.

Χαῖρε ὅτι ἐγγὺς γενρῶν ὑπερόπτης.

Χαῖρε ὅτι ἐφανὴς οὐρανίων ἐπόπτης.

Χαῖρε ποιμὴν θρεμμάτων τοῦ πνεύματος.

Χαῖρε λιμὴν πνευμάτων ἀπείρατος.

Χαῖρε ὁ ῥοῦς ὁ ἐκπλύνων τὰ πάθη.

Χαῖρε ὁ νοῦς ὁ Θεοῦ βλέπων βάθη.

Χαῖρε Κήρυξ τῆς Χάριτος.

Πόθος πέφευγεν αἴσχος τὸν υἱὸν τῆς αἰσχύνης εἰρκτῇ τὸν Βαπτιστὴν κατακλεῖσαι, καὶ καλύψαι ἀσθενῶν τὸ κακὸν, ἔλαθεν ἀφεδρον αὐτὸ θέμενος. ὁ λόγος γὰρ οὐ δέδεται τοῖς ψάλμασι Κυρίου ἔπος·

Ἀλληλούϊα.

Ῥήματά σου ὡς βέλη δεδεγμένος Ἡρῴδης κεντᾶται τὴν καρδίαν καιρίαν. οἱ γὰρ ἔλεγχοι τῶν ἀσεβῶν μώλωπες εἰσὶν ὠδυναὶ Πρόδρομε. καὶ θνήσκων ἀνομία, οὐκ ἠνέσχετο εἰπεῖν σοι ταῦτα·

Χαῖρε ἁγίασμα ὁ παρέχων.

Χαῖρε τὸ μίασμα ὁ ἐπέχων.

Χαῖρε τῶν πιπτόντων βροτῶν ἡ ἀνόρθωσις.

Χαῖρε προκοπτόντων Θεῷ ἡ βεβαίωσις.

Χαῖρε ἄϋλον ὡς Ἄγγελος ἐν γῇ βίον μετελθών.

Χαῖρε σῦλον ὡς δαίμονα τὸν Ἡρῴδην καθελών.

Χαῖρε ὁ τῶν ἀῤῥήτων τοῦ Θεοῦ οἰκονόμος.

Χαῖρε ὁ ὑπερῤῥήτων ἀγαθῶν κληρονόμος.

Χαῖρε καλῶν ὀδωδίαν δωρέμενος.

Χαῖρε κακῶν δυσωδίαν βοσκόμενος.

Χαῖρε, δι' ἣν ὁ Ἀδὰμ ἐνεδύθη.

Χαῖρε, δι' ἣν ὁ Σατὰν ἐγυμνώθη.

Χαῖρε Κήρυξ τῆς Χάριτος.

Φέλας ἡλίου δίκην ἔσιλβεν ὡς ἐκ δίσκου τοῦ πίνακος ἡ θεία σου κάρα, καὶ τοῦ σκότους πᾶσαν τὴν ἰσχὺν ἡ ἀκτὶς ἀπήλασεν αὐτῆς Πρόδρομε. ἡμᾶς δὲ καθοδήγησε τῷ φωτὶ τῷ πατρὶ κραυγάζειν

Ἀλλη-

Ἀλληλέϊα.

Τῷ φωτὸς τὴν λυχνίαν ὁ τῶ σκότους ἐργάτης ἐκ ἔφερεν εἰς ἔλεγχον ἔχειν· ὡς γὰρ φίλος ἔργων σκοτεινῶν, παρουσίαν ταύτης σφαλερῶς ἤχθετο· διὸ ἐκ μέσυ τίθησιν αὐτὸν, μὴ συνιεὶς κραυγάζειν·

Χαῖρε τὸ τέλεχος τῆς ἁγνείας.
Χαῖρε ὁ ἔλεγχος τῆς λαγνείας.
Χαῖρε τῶν βροτῶν καὶ Ἀγγέλων μεθόριον.
Χαῖρε οὐρανῶ καὶ τῆς γῆς τὸ ὀξαίσιον.
Χαῖρε μέσος ὁς ἀνέτειλας τῶ Θεῶ διαθηκῶν.
Χαῖρε τέλος ὃς γεγόνησαι τῶν γραφῶν τῶ νομικῶν.
Χαῖρε ὁ πανταχία εἰς ταὐτὸ καταμίξας.
Χαῖρε ὁ ἀσαρκίαν ἐν σαρκὶ κατορθώσας.
Χαῖρε βροντὴ τὸν Κόσμον ἐκπλήττυσα.
Χαῖρε βροχὴ τὴν Κτίσιν ἀρδεύσα.
Χαῖρε, δι' ἃ δυσεβεῖς φωταυγοῦνται.
Χαῖρε, δι' ἃ ἀσεβεῖς πυρπολοῦνται.

Χαῖρε Κήρυξ τῆς Χάριτος.

Ὕμνος ποῖος ἀρκέσει ἐφικέσθαι τῶ ὕψυς τῆς σῆς μεγαλωσυνης Προφῆτα; ἢ ὑμνήσει τὶς τῶν γηγενῶν ὃν ἁπάντων μείζονα Χριστὸς ἔδειξε; διὸ τὴν πίσιν δέδεξο τῶν μὴ σὲ βοώντων

Ἀλληλέϊα.

Φαεσφόρος ὡς ὄρθρος τῶ Ἡλίυ τῆς δόξης, καπίας με ἐξέγειρον ὕπνυ, καὶ ἰδὸν ἀνάδειξον φωτὸς, χρηγορούντα ἔργοις φωτεινοῖς Πρόδρομε, ὡς αὖ φαιδρῷ προσώπῳ σοι, καὶ γλώττῃ γηθοσυνῷ λέγω·

Χαῖρε πυρσὲ τῶν ἐν ζάλῃ ὄντων.
Χαῖρε χρυσὲ τῶν πενία ζώντων.
Χαῖρε λυπεμένων ταχεῖα παράκλησις.
Χαῖρε πλανωμένων ἑτοίμη ἀνάκλησις.
Χαῖρε παντων δύσυσώπητος πρὸς Θεὸν διαλλαγή.
Χαῖρε παντων δύσυμπάθητος λυπηρῶν ἀπαλλαγή.
Χαῖρε τῶν νοσημάτων τῶν πιστῶν ἡ ὑγεία.
Χαῖρε τῶν μολυσμάτων τῶν αὐτῶν ἡ ἁγνεία.
Χαῖρε παιόντων θεῖον ἐξίλασμα.
Χαῖρε πιπτόντων μέγα ἀνάστασμα.
Χαῖρε ὁ πᾶσι τὰ πάντα παρέχων.
Χαῖρε ἐπάσῳ τὸ πρόσφορον νέμων.

Χαῖρε Κήρυξ τῆς Χάριτος.

Χάριτι παντελείῳ χαριτώνυμε Κήρυξ ψυχῶν με χαριτώσαις καὶ φρενῶν, τῶν παθῶν τὸν ῥύπον ἐξ αὐτῶν μετανοίας γνώσει ἐξελῶν ἅπαντα, καὶ δείξαις σῇ με χάριτι ἐπάξιον Θεῷ κραυγάζειν

Ἀλλη-

Ἀλληλούϊα.

Ψώμισόν με Προφῆτα τῆς ἀφθάρτε ϛαπέζης ψυχίοις πεπτωκόσιν ὡς κύνα. ἐν λιμῷ γὰρ τήκομαι σφοδρῷ, σωτηρίε ἄρτε ἐπορῶν Πρόδρομε, καὶ πόρεσον καρδίαν με, ὡς αὖ σοι δυχαρίϛως κράζω

Χαῖρε σφραγὶς Προφητῷ ἁγίων.
Χαῖρε κρηπὶς Ἀποϛόλων θείων.
Χαῖρε νυμφοϛόλε ὡραῖε τῆς χάριτος.
Χαῖρε θεολόγε δογμάτων τὸ πνεῦματος.
Χαῖρε ὄμμα καθαρώτατον τὰ ἀθέατα ἰδόν.
Χαῖρε ϛόμα ἁγιώτατον τὰ ἀπόρρητα εἰπόν.
Χαῖρε Πρόδρομε, μάρτυς, Βαπτιϛά, φωνὴ, λύχνε.
Χαῖρε φρόκειτε, μάκαρ, μιμητὰ, μύϛα, φίλε.
Χαῖρε γλυκὺ καὶ φρᾶγμα καὶ ὄνομα.
Χαῖρε νοὸς καὶ γλώττης ἐνθύφημα.
Χαῖρε κοινὲ φρεσβευτὰ καὶ μεϛίτα.
Χαῖρε ἐμοῦ ἐξαιρέτως φροϛάτα.

Χαῖρε Κήρυξ τῆς Χάριτος.

Ὦ Προφῆτα Κυρίε, μεγαλώνυμε Κήρυξ, Ἁγίων ὑπερέκεινα πάντων, τὴν μικρᾶ νῦν φρόχες ἀπαρχὴν, καὶ τῷ δεινῶν ἁπάϛης παραχῆς ῥῦϛαι με, καὶ τῆς μελλούϛης λύξωϛαι κολάϛεως Θεῷ βοῶντα

Ἀλληλούϊα.

ΤΕΛΟΣ

ΠΙΝΑΞ

Τῶν, ὅσων προσετέθησαν ἐν τῇ παρούσῃ Βίβλῳ τῇ Ὁμοιακῇ Παναγίου καλλιμάχῃ.

Ὁμιλία τῆς Ἁγίας Γρηγορίας τῆς Παλαμᾶ περὶ τῶν Ἁγίων καὶ φρικτῆς τῆς Χριστοῦ Μυστηρίων. 61

Τῆς Ὁσίας Πατρὸς ἡμῶν Ἀναστασίας τῆς ὁρους Σινᾶ, Λόγος εἰς τὴν παρείσβασιν τῆς Νηστειῶν, καὶ εἰς τὸν Ἕκτον Ψαλμόν. 71

Χρυσοφόρια ἐκ τῆς Σκήτεως τῆς Τιμίας Προδρόμου Λόγος εἰς τὴν Σύλληψιν τῆς Θεοπρομήτορος Ἄννης. 83

Εὐχαὶ καθ' ἑκάστην ἡμέραν εἰς τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν λεγόμεναι. 94

Εὐχὴ εἰς τὴν Κυρίαν ἡμῶν Θεοτόκον τῆς σοφῆς Εὐδοξίας τῆς Βλαγάρεως. 98

Δαυὶδ Προφήτου καὶ Βασιλέως Μέλος. 99

Ἐκλογὴ ἐκ τῆς Δαβιτικῆς Βίβλου συλλεγεῖσα καὶ τεθεῖσα ἁρμοζόντως ᾠδαῖς τῆς Σοφωτάτης Νικηφόρου τῆς Βλεμμίδους ἐν ἑκάστῃ Ἑορτῇ ὅλου τοῦ χρόνου. Εἰς τὸ Γενέσιον τῆς Θεοτόκου. 104

Εἰς τὸν σεβάσμιον Ὕψωσιν τοῦ Τιμίου Σταυροῦ. 106

Εἰς τὸν Ἅγιον ἔνδοξον Ἀπόστολον Ἰωάννην τὸν Θεολόγον, καὶ εἰς τοὺς λοιποὺς Ἀποστόλους. 107

Εἰς τὸν Ἅγιον Μεγαλομάρτυρα Δημήτριον, καὶ εἰς τοὺς λοιποὺς Μάρτυρας. 108

Εἰς τὴν Σύναξιν τῶν Ἀρχαγγέλων, Μιχαὴλ καὶ Γαβριὴλ, καὶ πασῶν τῶν ἐπουρανίων Δυνάμεων Ἀσωμάτων. 110

Εἰς τὸν Ἅγιον Ἰωάννην τὸν Χρυσόστομον, καὶ τοὺς λοιποὺς Ἱεράρχας. 111

Εἰς τὴν Εἴσοδον τῆς Ὑπεραγίας Θεοτόκου. 113

Εἰς τὸν Ὅσιον Πατέρα ἡμῶν Σάββαν, καὶ εἰς τοὺς λοιποὺς Ὁσίους. 114

Εἰς τὴν Γένεσιν τοῦ Κυρίου. 117

Εἰς τὰ Ἅγια Θεοφάνεια. 119

Εἰς τὴν Ὑπαπαντὴν τοῦ Κυρίου. 121

Εἰς τὸν Εὐαγγελισμὸν τῆς Θεοτόκου. 122

Τῇ Κυριακῇ τῆς Βαΐων. 124

Τῇ Κυριακῇ τοῦ Θωμᾶ. 126

Εἰς τὴν Ἀνάληψιν τοῦ Σωτῆρος. 127

Εἰς τὴν Ἁγίαν Πεντηκοστήν. 129

Εἰς τὸ Γενέσιον τοῦ Προδρόμου. 131

Εἰς τὴν Κοίμησιν τῆς Θεοπρομήτορος Ἄννης. 132

Εἰς τὴν Ἑορτὴν τοῦ Προφήτου Ἠλιοῦ. 134

Εἰς τὴν Μεταμόρφωσιν τοῦ Σωτῆρος. 135

Εἰς τὴν Κοίμησιν τῆς Θεοτόκου. 137

Εἰς τὴν Ἀποτομὴν τοῦ Προδρόμου. 138

Οἶκοι εἰς τὸν Ἅγιον Ἰωάννην τὸν Πρόδρομον. 141